www.tezaurliturgic.ro



Παράκλησις εἰς τὸν Ὅσιον Θεοφάνη – Ἀκολουθία.

Ὑπὸ Ἱερέως Γιαλαμᾶ Γεωργίου. Καμαριώτισσα 1-VI-1988.

Κεράρχη 23-10-1996.

Ἀσματικὴ ἱερὰ Ἀκολουθία μετὰ Παρακλητικοῦ Κανόνος. Ὑπὸ ἱερέως Γεωργίου Ἰ. Γιαλαμᾶ. 1988.

www.tezaurliturgic.ro

12/3



– Υπό Ιερέως Γεωργίου Ι. Γιαλαμά.

# – Ιερά Ακολουθία.

## Εις τον Όσιον και Ομολογητήν, Θεοφάνη, της Σιγριανής, του εν τω Μεγάλω Αγρώ, Ναού αυτού κειμένου.

– Η ιερά αύτη Ακολουθία, είναι η ς΄ (6η) κατά σειράν υπό του ιδίου Ποιηθείσα, στηρίζεται δε εξ ολοκλήρου – ως προς το περιεχόμενον – εις την προφορικήν εν τη Σαμοθράκη παράδοσιν, εκεί με της Παναγίας της Καμαριωτίσσης – ουδενός γραπτού στοιχείου υπάρχοντος· νυν δε, αι Παραδόσεις αύται εξέλιπον παντελώς, από τα μέσα του κ΄ αιώνος. Χειρόγραφος και ανέκδοτος ούσα έμεινε. Αφιερούνται· εις τους ιβ΄ (12) προ εμού αδελφούς – εκ των αυτών γονέων –, καθότι τυγχάνω ο ιγ΄, ο Βενιαμίν της οικογενείας. Εις τους επιζώντας σήμερον· Ευστράτιον και Μυρσίνην Ιω. Μαμαρκού και εις τους απογόνους αυτών τε και εμού· εις μνημόσυνον δε, των αποβιωσάντων: Μαρίας Δημητρίου Προξένου (συζύγου αυτής), Γεωργίου (αποβ. τω 1918, ετών 14) ου και το όνομα φέρω, ως και των: Δημητρίου, Δημητρίου, Παρασκευούδας, Ξενιώς, Σουκινέλας και λοιπών, προ αυτών αποθανόντων νηπίων.

Ο ποιήσας Γιαλαμάς

Ιερεύς, ο Σαμόθραξ.

www.tezaurliturgic.ro



# Ἐν τῷ Μικρῷ Ἑσπερινῷ.

— Εἰς τὸ «Κύριε ἐκέκραξα...» ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια:[1] — Ἦχος Δ'. «Πανεύφημοι μάρτυρες...»

— Θεόφανες, ὅσιε, ὁμοῦ μετὰ τῆς συμβίου σου, παρθενικῶς καὶ ὡς Ἄγγελοι ἁγνῶς βιώσατε· τὴν οὐσίαν πᾶσαν, τοῖς πτωχοῖς ἐνείματε, τὴν ῥῆσιν τοῦ Κυρίου τηρήσαντες ὃν καὶ πρεσβεύσατε δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

— Προστάται γεγόνατε πτωχῶν, ἀρεταῖς κοσμούμενοι, σὺν Μεγαλῷ τῇ συζύγῳ σου, πάτερ Θεόφανες· παρθενίας βίον εὐσεβῶς ζηλώσαντες καὶ σχῆμα τῶν Ἀγγέλων ἐνδύσασθε Χριστῷ πρεσβεύοντες· δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

— Ὡς Ἄγγελοι ὤφθητε ἐν γῇ, ζεῦγος ἁγιόλεκτον τῶν μοναζόντων ἀγλάϊσμα, πτωχῶν ἡ πρόνοια· Παραδείσου πύλαι καὶ ὑμῖν ἠνοίγησαν, οἰκήτορες ἐν τούτῳ γενόμενοι διὸ μὴ παύσητε· τὸν Σωτῆρα ἱκετεύοντες, τὴν εἰρήνην, δοῦναι καὶ τὸ ἔλεος.

— Θεόφανες, ὅσιε, ποιμὴν μοναστῶν γεγένησαι, ὁ τῶν εἰκόνων ὑπέρμαχος καὶ ὑπερόριος· ἐν τῇ νήσῳ ἤχθης, ἔνθα καὶ παρέδωκας τὸ πνεῦμα τῷ Θεῷ καὶ Σωτῆρί σου ᾧ καθικέτευε· δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

---

1. Συμβουλευθῆτε πρῶτα, τὴν Τυπικὴν διάταξιν, τῆς θ' Μαρτίου (9).

www.tezaurliturgic.ro



— Δόξα... — Ὅμοιον.

— Θεόφανες, ὄντως εὐσεβῶν ὁδηγὸς γεγένησαι, εἰκονομάχων ὁ ἔλεγχος, πιστῶν τὸ στήριγμα· τῶν εἰκόνων ὤφθης φίλος καὶ ὑπέρμαχος, Χριστοῦ τοῦ βασιλέως τοῦ σύμπαντος, ὃν νῦν ἱκέτευε· δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος

— Καὶ νῦν... — Ὅμοιον.

— Εἰκόνα σου ἔνδακρυς, Ἁγνή, προσκυνῶν ἠσπάζετο, ὁ Θεοφάνης ὁ Ὅσιος, ὢν ὑπερόριος· καὶ κατέχων ταύτην, ἕως οὗ παρέδωκεν, τὸ πνεῦμα τῷ Υἱῷ σου, Παναχραντε, ᾧ καὶ πρεσβεύει νῦν· δωρηθῆναι τοῖς τιμῶσί σε, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος. —

— Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια

— Ἦχος πλ. δ'. «Ὢ τοῦ παραδόξου θαύματος...»

— «Πάτερ θεόφρον Θεόφανες, θεοφανείας Χριστοῦ, ...» (Δίς)

— «Πάτερ θεόφρον Θεόφανες, ὑπερορίας πικράς, ...»

— «Ὄντως ἀμοιβὰς τῶν πόνων σου, ...». — Μετὰ τῶν οἰκείων Στίχ.

— Δόξα... καὶ νῦν, ... Θεοτοκίον. Ὅμοιον.

— «Δεῦρο ψυχή μου στενάζουσα, ...»

— Ζήτει ταῦτα, εἰς τὸν ἑσπερινὸν τῆς ἑορτῆς τοῦ Ὁσίου. 12ης Μαρτίου. Σελὶς 48, Μηναίου Ἀποστ. Διακονίας.

— Τὸ «Νῦν ἀπολύεις...» Τρισάγιον. κ.λ.π.

— Ἀπολυτίκιον.

— Ἦχος πλ. δ'. «Ὀρθοδοξίας ὁδηγέ, ...»

— Ὀρθοδοξίας ὁδηγέ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος· τῶν μοναστῶν ἡ καλλονή, εἰς Σαμοθράκην ἐνθέτεις θεῖον σκήνωμα· Θεόφανες σοφέ, ὑπὲρ εἰκόνων ἁγίων ἤθλησας, θείᾳ δυνάμει ῥυσθείς. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν. —

— Ἡ μικρὰ Ἀπόλυσις.

www.tezaurliturgic.ro



# Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ.

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ... εἰς δὲ τὸ Κύριε ἐκέκραξα... ἱστῶμεν στίχους ς' καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια:

Ἦχος β'. «Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν...»

— Ὤφθης οἰκουμένης ὁ φωστήρ, τῆς ὀρθοδοξίας προστάτης, τῶν μοναστῶν ὁ κανών, πλοῦτον δὲ σοῦ ἅπαντα πτωχοῖς διένειμας· σοῦ συμβίᾳ συμπράξασα, Ἀγγέλων τὸ σχῆμα, βίον τὸν ἐπίγειον ἁγνῶς τηρήσατε· Θεῖε Θεόφανες πάτερ, Κύριον Χριστὸν τὸν Σωτῆρα, ὑπὲρ τῶν ὑμνούντων σε, ἱκέτευε.—

Ὅμοιον.

— Ὅτε τῶν εἰκόνων διωγμός, καὶ εἰκονοκλάσται καθεῖλον τὰς σεβασμίας μορφάς, Πάτερ σὺ Θεόφανες, αὐτοὺς διήλεγξας· τῶν εἰκόνων ὑπέρμαχος προστάτης ἐφάνης, Λέων δὲ Ἀρμένιος εἱρκτῇ συνέκλεισεν· ὡς καὶ ὑπερόριος ἤχθης καὶ ἐν Σαμοθράκῃ τὸ πνεῦμα, τῷ Θεῷ παρέδωκας, μακάριε.—

— Πλοῦτον διανείματε φθαρτόν, σεῖς τὴν ἐντολὴν τοῦ Κυρίου ἐκτελοῦντες πιστῶς, πλοῦτον τὸν αἰώνιον σοφῶς κερδίσατε· καὶ τὸ σχῆμα ζηλώσαντες, Ἀγγέλων τὸ θεῖον, μετὰ τῆς συμβίου σου, ἁγνῶς τιμήσατε· Πάτερ, σοῦ τὴν μνήμην τελοῦντας, αἴτησαι Κυρίῳ δωθῆναι καὶ ἡμῶν πταισμάτων τὴν συγχώρησιν.—

— Ἔχομεν προστάτας κραταιούς, οἱ τὴν Σαμοθράκην οἰκοῦντες, τοὺς ἐπισκέπτας ἡμῶν, σκήνωμα δεξάμενοι ὑπερορίου γάρ Θεοφάνους ὁσίου τε, εἰκόνων τῶν θείων, φίλον καὶ ὑπέρμαχον ἀκαταμάχητον· ὡς καὶ τὴν σεπτὴν καὶ ἁγίαν, τῆς Καμαριωτίσσης εἰκόνα, τὴν θαυματουργοῦσαν ἐν τοῖς πέρασιν.—

www.tezaurliturgic.ro



ϛ' Ἦχος ὁ αὐτός. — Δόξα...

— Τῆς εὐσεβείας κανὼν καὶ ὀρθοδοξίας διδάσκαλος· τῆς Ἐκκλησίας φωστὴρ καὶ στύλος ἄσειστος ἀκλόνητος. Τῶν ἐνδεῶν καὶ ὀρφανῶν ὁ θησαυρός, τῶν μοναζόντων ὁ ποιμήν, πάτερ Θεόφανες.
Τὰς Λεοντίου κακοδοξίας, ἀνέτρεψας εὐθαρσῶς, ὁ τῶν εἰκόνων ὑπέρμαχος· πρόσδεξαι ὑμνῳδίας καὶ θερμὰς ἱκεσίας, καὶ τῷ Δεσπότῃ Χριστῷ τῷ Θεῷ, πάτερ, ταύτας προσάγαγε. —

— Καὶ νῦν,... β' ἤχου.

— Ἐν τῇ θαλάσσῃ ἐν ἐλλείψει ἐνέβαλον, τὴν σεβασμίαν εἰκόνα σου Ἄχραντε· ἐκ τῆς θαλάσσης ἀγαλλιῶντες ταύτην παρέλαβον, ὅτε ἐν τῷ ὅρμῳ κατέπλευσεν, οἱ τὰς σαγήνας, ἐν τῇ ἀκτῇ καταρτίζοντες. Ἀναδειχθεῖσα ἡμῶν ἡ προστάτις, ὁ φύλαξ ἀποδημούντων καὶ τῶν πλεόντων συμπλοηγήτρια. Ὦ Μῆτερ τῶν πιστῶν, Καμαριώτισσα, ἀδιαλείπτως τὸν σὸν Υἱὸν καὶ Θεὸν ἡμῶν καθικέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. —

ϛ Εἴσοδος. — Φῶς ἱλαρόν.

ϛ Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

α'. — Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. γ' 1).
— Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, ....

β'. — Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. ε' 15. Κ. ϛ' 1).
— Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, ....

γ'. — Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. δ' 7).
— Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ....

ϛ Ζήτει ταῦτα ἐν Ἑσπερινοῖς Ὁσίων. (Μηναῖον Ιανουαρ. 147 σ.)

Σημ. Ἡ Τυπικὴ αὕτη διάταξις, τηρεῖται, ὅταν ἡ μνήμη τοῦ Ὁσίου συμπέσῃ ἐκτὸς Τριῳδίου· ἄλλως ἀκολουθεῖται, ἡ Τυπ. διάταξις τῆς Θ' Μαρτίου, τῶν 40. μαρτ.

www.tezaurliturgic.ro



# Εἰς τὴν λιτήν.

## Ἰδιόμελα.

### Ἦχος Α΄.

Τὰς ἀρετάς σου, Ὅσιε Πάτερ, ἐν βίῳ τίς διηγήσηται;
τὴν σωφροσύνην, τὴν ἄσκησιν, τὴν ὑπομονήν· τὴν ἐλεημοσύνην,
τοὺς μόχθους, τὴν προσευχήν; τοὺς ἱερούς σου ἀγῶνας ὑπὲρ εἰ-
κόνων οὓς ἤθλησας. Τὴν ὁμολογίαν, τὰς ταλαιπωρίας σου πάσας,
ἢ τὰ δεσμὰ ἃ ὑπέστης; ὀρθοδοξίας καὶ εὐσεβείας ὑπερμαχε-
ὡς καὶ τὴν πικρίαν ὑπερορίας γευσάμενος, τῆς εὐσεβείας τὸ
κλέος, Πάτερ Θεόφανες. Ὅθεν παρὰ Κυρίου τὰ γέρα δε-
ξάμενος, τῆς Ὁμολογίας τὸ στέφος, καὶ ἰαμάτων τὴν ἀέ-
ναον χάριν προσείληφας. Διὸ καὶ νῦν δυσωποῦμέν σε,
ἀδιαλείπτως ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν, τῶν ὀρθοδόξως
ἀνευφημούντων σε, Ὅσιε. — ✱[1]

### Ἦχος Β΄.

Πηγὴ δωρεῶν f ἰάσεις ἀναβρύουσα f, παθῶν ἰατρός f, κατέστης, ὦ Θεόφανες f· διὸ καὶ βοῶμέν σοι· f Χριστῷ τῷ Δεσπότῃ ἱκέτευε f καὶ τῆς γεέννης τῆς φοβερᾶς f λυτρώσῃ ἡμᾶς ὡς πολυεύσπλαγχνος. —

### Ἦχ. Δ΄.

Τῶν παραδόσεων κανὼν καὶ ἐπόπτης, ὁ τῶν εἰκόνων τῶν ἁγίων προστάτης· τῶν μοναζόντων καύχημα πτωχῶν ὁ σωτήρ· ὧδε ὑπερόριος, ἐν Σαμοθράκῃ τελευτᾷ· πλοῦτος χαρισμάτων τε καὶ πηγὴ θαυμασίων· καὶ νοσημάτων ἐστὶν ἰατρός· ὁ Θεοφάνης, ὁ φύλαξ τῆς πίστεως. —

---

✱ 1. Τὸ Τροπάριον τοῦτο ἐστι, τὸ Χιλιοστόν, 1000 στόν, ἐφ' ὅσον φέρει τὸν αὔξ. ἀριθμόν: (1000) ἐξ ὧν ἐποίησα, φρόντισα δὲ νὰ ἀποδοθῇ εἰς τὸν Α΄ ἦχον, τὸν πρῶτον καὶ λαμπρότατον πάντων. —

Ἦχος βαρύς. Δόξα. καὶ νῦν...

www.tezaurliturgic.ro



## — Δόξα.... Καὶ νῦν,...   „Βαρύς.

— Σήμερον ὁ ὁσιώτατος πατὴρ ἡμῶν, ἐν τῇ νήσῳ ἐπεδήμησεν ὡς ὑπερόριος· καὶ τοῦτον ὁ σύλλογος τῶν ἁλιέων ἀσμένως ὑποδέχεται. Τῆς Καμαριωτίσσης ἰδὼν τὴν σεβασμίαν μορφήν, εὐλαβῶς κατασπάζεται, τοῖς δάκρυσιν ἐν πολλοῖς περιβρέξασα· ἡ δὲ νῆσος προσερχομένη σύμπασα, τὴν ταλαιπωρίαν αὐτοῦ ἀπαλύνει. Οὗτος δέ, τὰς εὐλογίας τοῖς πᾶσιν παρέχει ἀφθόνως καὶ τοῖς νοσοῦσι τὰς ἰάσεις χαρίζει. Σήμερον οὖν καὶ ἡμεῖς συνελθόντες ὦ φιλέορτοι, ἐν ὕμνοις εὐφημήσωμεν τῷ ἐπισκέπτῃ, σὺν τῇ Παναχράντῳ Θεομήτορι· καὶ τῷ χαῖρε χαρμονικῶς ἐκβοήσωμεν, ἵνα πρεσβεύουσι τῷ Κυρίῳ, ὑπὲρ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν.—

## „ Εἰς τὸν Στίχον.

**Σημείωσις.** Ἡ μνήμη τοῦ Ὁσίου Θεοφάνους, ὡς ἐπὶ τὸ πλεῖστον συμπίπτει ἐντὸς τῆς περιόδου τοῦ Τριωδίου, ὁπότε καὶ ἡ Ἀκολουθία συμψάλλεται μετ' αὐτῆς τοῦ Τρ., ἀναλόγως, ἐν Σαββάτῳ, Κυριακῇ, Τετάρτῃ ἢ Παρασκευῇ, ἢ ἐν ἄλλῃ ἡμέρᾳ τῆς ἑβδομάδος, τελουμένης Θείας Λειτουργίας, μιᾶς ἐκ τῶν τριῶν, Προηγιασμένης ἢ τῶν: Ι. Χρυσοστόμου – Μ. Βασιλείου. Εἰς ὅλας αὐτὰς τὰς περιπτώσεις, ἡ Ἀκολουθία διεξάγεται ὡς ὁρίζει τὸ Τυπικόν, εἰς τὰς ἀναλόγους περιπτώσεις, τῆς ἑορτῆς τῶν 40ντα Μαρτύρων· τῆς 9ης Μαρτίου.
Ἐὰν ὅμως συμπέσῃ ἐκτὸς τοῦ Τριωδίου, τότε ψάλλομεν:

Στιχηρὰ Προσόμοια· τὰ εἰς τοὺς Αἴνους κείμενα:

1. « Ὑπὲρ εἰκόνων λαμπρῶς ὑπερμαχήσας .....»

**Στίχος:** — Μακάριος ἀνήρ, ὁ φοβούμενος τὸν Κύριον.

2. « Ὁ τῶν εἰκόνων ὑπέρμαχος ἐδείχθης....»

**Στίχος:** — Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

3. « Ὑπὲρ εἰκόνων γενναίως ἠγωνίσθης .....»

— **Δόξα**.... « Ὁ ἐναρέτως τὸν δρόμον διανύσας....» Σελὶς 23–24 τοῦ παρόντος.

## — Καὶ νῦν... Ὅμοιον.

— Ἐν τῇ θαλάσσῃ εἰκόνα σου, Παρθένε, ὅτε οἱ ἀνίεροι φθόνῳ συνέτριβον· οἱ σοὶ θεράποντες ἔθεσαν ἐναποκρύψαι, τὴν παρὰ σοῦ δεόμενοι πρόνοιαν. Ταύτην σοί, Πανάχραντε, σώαν ἐτήρησας, εἰς Σαμοθράκην προέπεμψας, ἐν ἀσφαλείᾳ, προσωνυμίαν θείαν προσφέρουσα. Ὅθεν ὑμνοῦμεν καὶ δοξάζομεν, ὡς Μητέρα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ὃν ἱκέτευε σῶσαι καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν. —

— Νῦν ἀπολύεις... Τρισάγιον κ.λ.π.

~ Ἀπολυτίκια· τοῦ ἁγίου τῆς ἡμέρας. — Δόξα... τοῦ Ὁσίου, τὸ τοῦ μικροῦ ἑσπερινοῦ· «Ὀρθοδοξίας ὁδηγέ, ...»

**Καὶ νῦν...** τῆς Καμαριωτίσσης· Ἦχος πλ. δ´.

«Εὐλογητὸς εἶ Χρ...»

— Εὐλογημένη σεπτή, Καμαριώτισσα, παραδόξως, τοὺς ἅπαντας φανεροῦσα, ἐξαστράπτουσαν σὴν εἰκόνα εἰς θάλασσαν· καὶ ἐσαεί, τὴν Σαμοθράκην περισκέπεις, Παρθένε Πανάχραντε.

---

~ Μὴ τελουμένης δὲ λειτουργίας, εἰς τὸν Στίχον, ψάλλομεν τὰ Ἰδιόμελα τῆς ἡμέρας δίς, καὶ τὸ Μαρτυρικόν. Εἶτα:

— Δόξα. τοῦ Ὁσίου. Ἦχος πλ. α´.

— Πάσας τὰς ἀρετάς, ἐν σοὶ ἀνεμάξω, μακάριε Ὅσιε· ψυχὴν καὶ σῶμα δεόντως κατεκάλλυνας· καὶ στῦλος ἀνεδείχθης μισοδοξίας, ἀπερίτρεπτος ἅγιε.
Τῶν πενήτων κατέστης ὁ ἐπίκουρος, τῶν μοναστῶν ἡ καλλονή, τῆς ἐγκρατείας τὸ ἐγκαλλώπισμα, τῆς εὐσεβείας ὁ θεῖος διδάσκαλος, ἡ δόξα τῶν Ὁσίων.
Τὸ μὲν πανίερόν σου σκῆνος ἡ Σαμοθράκη ἐγκολπώσατο, τὴν δὲ ψυχήν σου τὴν ἁγίαν ὁ Κύριος προσελάβετο καὶ

www.tezaurliturgic.ro



νῦν μετὰ Ἀγγέλων, ἐν Παραδείσῳ εὐφραίνεσαι.

Ἀλλ' ὦ μάκαρ Θεόφανες, ὡς παριστάμενος τῷ θρόνῳ, Χριστοῦ τοῦ Παντάνακτος· αἴτησαι, εἰρηνεῦσαι τὴν εὐσέβειαν· καὶ ἔλεος γένηται ἡμῖν, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.—

## — Καὶ νῦν,... Ἦχος πλ. α' «Ἡσαΐα χόρευε...».

— Σαμοθρᾴκη χόρευε, ἡ Παρθένος ἔσται μετὰ σοῦ, παρέχουσα δεινῶν τὴν ἀπαλλαγήν, ψυχῆς τε καὶ σώματος· καταφυγὴ πάντων τῶν πιστῶν· ὦ Καμαριώτισσα, ἀνυμνοῦντες μεγαλύνομεν.—

## Εἶτα· Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι. κ.λ.π.

## Ἀπολυτίκιον. Ἦχος δ'. Ταχὺ προκατάλ.

— Θεῷ τῷ ἐν σώματι, ἐπιφανέντι ἡμῖν, ὁσίως ἐλάτρευσας, δι' ἐναρέτου ζωῆς, Θεόφανες Ὅσιε· πᾶσαν γὰρ τὴν παροῦσαν ὕπαρξιν ἀπορρίψας, ἄθλους ὁμολογίας, τῇ ἀσκήσει συνῆψας· ἐντεῦθεν δι' ἀμφοτέρων, φαίνεις τοῖς πέρασι.

## Μεγαλυνάριον.

— Τῆς θεοφανείας τῆς μυστικῆς,
βίῳ ὑπερτέρῳ, ὑπεσαρίσας τὴν μετοχήν,
θέσει ἐθεώθης, Θεόφανες θεόφρον,
καὶ ὤφθης εὐσεβείας, στῦλος θεόφωτος.

—Τὰ δύο ταῦτα, ἐκ τοῦ Μεγάλου Συναξαριστοῦ.

www.tezaurliturgic.ro



# Εἰς τὸν Ὄρθρον.

Μετὰ τὴν α΄ Στιχολογίαν. Κάθισμα. Ἦχ. α΄. Πανεύφημοι μάρτ...

— Θεόφανες Ὅσιε, πτωχῶν σὺ προστάτης γέγονας καὶ τῶν εἰκόνων ὑπέρμαχος καὶ ὑπερόριος· τὴν ὁμολογίαν εὐθαρσῶς ἐτράνωσας, τοὺς δὲ εἰκονομάχους κατήσχυνας καὶ πρὸς οὐράνιον, βασιλείαν μεταβέβηκας, ἱκεσίας, δι' ἡμᾶς ποιούμενος.—

— Δόξα... καὶ νῦν... Ὅμοιον.

— Ἐπέλεξας τόπον ἀσφαλῆ, τῇ σεπτῇ εἰκόνι σου τὴν Σαμοθράκην, Πανάχραντε, πρὸς ἣν κατηύθυνας· ἁλιεῖς μὲν ταύτην εὐλαβῶς παρέλαβον, ἀλλὰ καὶ Θεοφάνης ὁ Ὅσιος τῇ κατεφίλησεν· Παναγία Καμαριώτισσα, σοὺς ἱκέτας, ἐκ δεινῶν περίσωζε.—

Μετὰ τὴν β΄ Στιχολογίαν. Κάθισμα. Ἦχ. α΄. Τῶν οὐρανίων...

— Σοῦ τὸ πανίερον σκῆνος, Πάτερ Θεόφανες, ἡ νῆσος δεξαμένη, ἐν πολλαῖς εὐλογίαις, ἄφθονον τὴν χάριν ὑπεραντλεῖ, τὴν δοθεῖσαν σοι ἄνωθεν· σὲ γὰρ ψυχῶν καὶ σωμάτων θεραπευτήν, Πάτερ Ὅσιε, κεκτήμεθα.—

— Δόξα. Καὶ νῦν... Ὅμοιον.

— Τὴν συνοδίαν τοῦ Παύλου ὕμνοις γεραίρομεν, ἅμα καὶ Θεοφάνους κοίμησιν ἐν τῇ νήσῳ, ἄθλησιν μαρτύρων νεοφανῶν, Σαμοθράκης τὰ σφάγια καὶ Καμαριώτισσαν, χαίροντες ἐν σπουδῇ, ὀρθοδόξως μεγαλύνομεν.—

Μετὰ τὸν Πολυέλεον.

## Κάθισμα. Ἦχος Α΄. Ἰδιόμελον.

www.tezaurliturgic.ro



– Τοῦ Ἀποστόλου Παύλου καὶ τῆς συνοδίας αὐτοῦ τὴν ἐπίσκεψιν, τὰς ἀποδημίας καὶ τοὺς ἀγῶνας πάντων γεραίρομεν· Θεοφάνους ὁσίου, τὴν ὑπερορίαν εἰς Σαμοθράκην, καὶ τὴν μακαρίαν κοίμησιν εὕρομεν. Τῆς Παναχράντου εἰκόνος τῆς Θεοτόκου, ἀγαλλιῶντες προσκυνοῦμεν τὴν ἄφιξιν· καὶ τῶν μαρτύρων τῆς νήσου, εὐσεβοφρόνως, ἀνευφημοῦμεν τὴν ἄθλησιν. Ἀπὸ μυρίων κινδύνων καὶ νόσων, πολλάκις τὴν νῆσον οἱ Ἅγιοι ἐρρύσαντο, τὸν δὲ ἀνεξάντλητον πλοῦτον τῶν θαυμασίων τῆς Θεοτόκου, τίς διηγήσεται; Ἀλλ' ὦ Ἅγιοι, γενναινᾶς αἰτοῦμεν ὑμᾶς, ἵνα πρεσβείαν ποιῆται πρὸς Κύριον· εἰρήνην τῇ οἰκουμένῃ δωρεῖσθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν ζωὴν τὴν αἰώνιον. –

— Δόξα.. Καὶ νῦν... Τὸ αὐτό.

» Εἶτα οἱ Ἀναβαθμοί. Τὸ Α΄ Ἀντίφωνον τοῦ δ΄ Ἤχου.

« Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ'... » (δίς).

« Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου... » (δίς).

« Δόξα... ». Ἁγίῳ Πνεύματι, πᾶσα ψυχή... »

« Καὶ νῦν... » Ἁγίῳ Πνεύματι, ἀναβλύζει... »

Προκείμενον.

— Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσομεν τῷ Κυρίῳ.... Τό: « Πᾶσα πνοή... »

» Εὐαγγέλιον. Ὁσιακόν. (Ματθ. ια΄ 27-30) Μετὰ τὸν Ν΄.

— Δόξα... Ταῖς τοῦ σοῦ Ὁσίου... Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...

— Ἐλέησόν με ὁ Θεός... Τό: Ἰδιόμελον. Ἦχος πλ. β΄.

— Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου, δι' ὧν ἐν τοῖς οὐρανοῖς, εὗρες μισθὸν τῶν καμάτων σου. Τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας. Παρρησίαν ἔχων πρὸς Κύριον, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν. —

www.tezaurliturgic.ro



«Σῶσον, ὁ Θεός,... Κύριε ἐλέησον (12 κις)· Ἐλέει καὶ οἰκτιρμοῖς... Ἀμήν.
» Εἶτα· οἱ Κανόνες: Τῆς Παναγίας τῆς Καμαριωτίσσης, τοῦ πλ. δ' ἤχου,
» οὗ ἡ ἀκροστιχίς: «Ὑμνῶ, μεγαλύνω, Καμαριώτισσαν· Γεώργιος».
» Καὶ τοῦ Ὁσίου Θεοφάνους, ἀνὰ πέντε ἐν ἑκάστῃ ᾠδῇ. Οὗ ἡ ἀκρο-
» στιχίς: «Θεοφάνους, μελετήσας τὸν βίον, ἀναφωνῶ ὕ-
» μνον. Γ. Ι. Γ.». Ἀμφότεροι εἰς ἴδιον ἦχον καὶ εἱρμούς.
» Ποιηθέντες ὑπὸ Ἱερέως Γεωργίου Γαλαμιᾶ, ἐφημ. Καμαριωτίσσης.»

**ΚΑΝΩΝ** ᾨδὴ α'. Ἦχος πλ. δ'. Ὁ εἱρμός· «Ὑγρὰν διοδεύσας...»

— Ἅγιε τοῦ Θεοῦ...

— Θεόφανες, ὅσιε, ἐπὶ γῆς, ὅλον σου τὸν βίον διανύσας ἐν ἀρετῇ καὶ εἰς οὐρανοὺς ἐναποβλέπων, τὴν ματαιότητα κόσμου ἀπέφυγες.

— Ἑκὼν καταλείπεις τὰς κοσμικάς, ἡδονὰς τοῦ βίου καὶ τὰ πλοῦτη καὶ τὰς τιμάς, καὶ ὡς ἐρημίτης εὖ μονάσας τοῦ Παραδείσου οἰκήτωρ γεγένησαι.

— Ὁμόφρονος οὖσα προορισμοῦ, καὶ ἡ σοῦ σύμβια καὶ παρθένος ἡ Μεγαλώ*, μονάσασα ὅλως ἐναρέτως, καὶ εἰς Εἰρήνην Χριστοῦ ὀνομάζεται.

— Φωτίζων, ἐλέγχων καὶ νουθετῶν, καὶ διακηρύσσων Ἐκκλησίας ἐπιταγάς, Χριστοῦ Ἀποστόλων παραδόσεις, ὀρθοδοξίας κανὼν ἀκριβέστατος.

— Ἀκλόνητος στῦλος τῆς ἀληθοῦς, καὶ τῆς ὀρθοδόξου παραδόσεως καὶ Γραφῶν, τῆς ὁμολογίας ἠξιώθης, ὡς τῶν ἁγίων εἰκόνων ὑπέρμαχος.

«(ἢ τὸ ἑξῆς: Θεοτοκίον).

— Ἀγγέλων ἡ δόξα ἐν οὐρανῷ, καὶ ἡ προστασία τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, Πανάχραντε Κόρη Θεομῆτορ, εἰς τὴν ὀρθόδοξον πίστιν με στήριξον.

* Περὶ τὸ ὄνομα· Μεγαλώ, ὅρα εἰς τὴν Σελίδα 33.

www.tezaurliturgic.ro



Ὠδὴ γ'. Ὁ εἱρμός. «Οὐρανίας ἁψῖδας, ὀρ...»

— Ἅγιε τοῦ Θεοῦ...

— Νεανίας τὸ σῶμα, ἐφάνης μακάριε, πρὸς δὲ τὴν σοφίαν πρεσβύτης, σὺ καταφαίνεσαι ταῖς ἐνεργείαις ταῖς σαῖς καὶ ἀρεταῖς σου, Θεόφρον, μοναστῶν τὸ καύχημα γέγονας Ὅσιε.

— Οὐρανίοις δυνάμεσι, ἡ σοῦ ψυχή, Ὅσιε· καὶ ἐν Σαμοθράκῃ τὸ σῶμά σου ἀνεπαύσατο· διὸ αἰτοῦμεν θερμῶς, τὰς ἱκεσίας ἀπάντων, καὶ ἐμοῦ τὴν δέησιν, Πάτερ, εἰσάκουσον.

— Ὑπερόριος ἤχθης, Σιγριανῆς, Ὅσιε· ἡ μὲν Ἐκκλησία τιμᾷ, τὴν ὁμολογίαν σου· καὶ τοὺς ἀγῶνας τοὺς σούς, ὡς ἀθλητὴν μετὰ δόξης· ἡ δὲ νῆσος τέρπεται, Πάτερ Θεόφανες.

— Δόξα...

— Σαμοθράκη γεραίρει, τὴν μνήμην σου, Ὅσιε· καὶ τῆς Μυτιλήνης οἱ δῆμοι πανηγυρίζουσι· καὶ ὡς προστάτην ὑμνοῦσι καὶ εὐλογοῦσι τὸν Δεσπότην, τῷ σε στεφανώσαντι δόξῃ μακαρίᾳ.

— Καὶ νῦν...

— Μεγαλύνω καὶ ψάλλω, καὶ ἀνυμνῶ, Ἄχραντε· ὡς ὁ Θεοφάνης προσπίπτω, καὶ κατασπάζομαι· τὴν τῶν θαυμάτων πηγήν, τὴν ἱεράν σου εἰκόνα· τὸ σεπτὸν ἀγλάϊσμα τὴν Καμαριώτισσαν.

Μεσῴδιον Κάθισμα. Ἦχ. πλ. β'. «Ὄπιν ἀποθέμενοι...»

— Ὅσιε Θεόφανες, τῶν μοναζόντων τὸ κλέος, ὁ σοφὸς διδάσκαλος, Σιγριανῆς ὁ κτίτωρ καὶ ἡγούμενος· ἱεροῖς δόγμασιν, ἐκτελῶν διδάσκων· τῶν εἰκόνων ὁ ὑπέρμαχος· χρυσὸν καὶ ἄργυρον, τοὺς ἐν ἀπορίᾳ διένειμας· ἀνθρώποις τε καὶ κτήνεσι, τὰς εὐεργεσίας μετέδωκας· καὶ ἐν Σαμοθράκῃ, τὸ πνεῦμα παραδίδεις τῷ Χριστῷ, ὃν ἐκτενῶς καθικέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν. —

— Δόξα... — Καὶ νῦν...

Ὅμοιον. Τῆς Καμαριωτίσσης

www.tezaurliturgic.ro



Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι...

—Χαῖρε, Ἀειπάρθενε, τῆς Σαμοθράκης τὸ κλέος, προστασία ἄμαχε, θησαυρὲ ἀκίνητε, Καμαριώτισσα· τοῖς βροτοῖς πάντοτε σωτηρίας παρέχεις, τοῖς νοσοῦσι τὰ ἰάματα· πηγὴ ἀκένωτος, καὶ πρὸς τὸν Υἱόν σου μεσίτρια· Ἀγγέλων ὑπερέχουσα καὶ τῶν οὐρανῶν ἡ βασίλισσα. Θεία εὐλογία, τῶν πίστει προστρεχόντων σοι, Ἁγνή, ἐν παρρησίᾳ οὖν πρέσβευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.—

Ὠδὴ δ΄.

Ὁ εἱρμός· «Εἰσακήκοα, Κύριε...»

—Ἐν τῇ νήσῳ ὢν πάροικος, τοὺς ἐν ἀσθενείᾳ σοὶ προσεκόμιζον· καὶ δεόμενος, μακάριε, τὰς ἰάσεις οἱ πάντες ἐλάμβανον.

—Λεοντίου δυσσέβειαν, τῆς ὀρθοδοξίας τὸν μαργαρίτην· πάτερ, ἤλεγξας ἐρρωμενέστατα, καὶ ἠμύνθης σεπτῶν παραδόσεων.

—Ἐξορίαν ὑπέμεινας, καὶ ταλαιπωρίας, πάτερ Θεόφανες· εἰς Παράδεισον ἐσκήνωσας, σὺν Χριστῷ ἐν αὐτῷ ἀγαλλόμενος.

—Τῶν ἀγώνων ὡς ἔπαθλον, ὁ τῆς νίκης στέφανος σοὶ προσφέρεται· μετ᾽ Ἀγγέλων νῦν εὐφραίνεσαι, καὶ ἡ δόξα σου ἡ ἀκατάλυτος.

Ἡ εἰκών σου, Παναχραντε, τῆς Καμαριωτίσσης ἡ θαυματόβρυτος· Σαμοθράκην ἐπεσκέψατο, καὶ προσήνεγκε θεῖον σου ὄνομα.

Ὠδὴ ε΄. Ὁ εἱρμός. «Φώτισον ἡμᾶς, τοῖς...»

Ἅγιε τοῦ Θεοῦ...

—Στήριξον ἡμᾶς ταῖς εὐχαῖς, Πάτερ Θεόφανες, ἐν τῷ κηρύγματί σου τῷ ἀληθεῖ, ἵνα πρὸς πίστιν, ὀρθὴν καλῶς ὁδηγούμεθα.

www.tezaurliturgic.ro



Ε΄ ᾠδή. Συνέχεια.

Ἅπαντας ἡμᾶς, περιφρούρησον, Θεόφανες, ἐκ τῶν βελῶν καὶ παγίδων τοῦ ἐχθροῦ· καὶ περὶ πάντων, εἰρήνην ἀεὶ αἰτήσασθαι.

Σθένος ἀρραγές, ἐν ἀγῶσι σου ἐπέδειξας καὶ καταισχύνοντας σὺ τοὺς δυσσεβεῖς, εἰκονομάχους, τιμὴν εἰκόνων κηρύσσοντας.

Τήρησον ἡμᾶς, εἰς ἑνότητα, Θεόφανες· καὶ τοὺς τιμῶντας τὴν μνήμην σου, σοφέ, καὶ ὑπὲρ πάντων, τῷ Δεσπότῃ σου ἱκέτευε.

Οἴκτιρον ἡμᾶς, τοὺς ὑμνοῦντας σε, Πανύμνητε· καὶ ἐξ ἐνέδρας τοῦ πονηροῦ καὶ ἀλλοτρίου· ἡμᾶς, ἀγαθὲ ἐξέλασον.

ᾨδὴ ς΄. Ὁ εἱρμός «Τὴν δέησιν ἐκχεῶ.»
— Ἅγιε τοῦ Θεοῦ...

Νενίκηνται παρὰ σοῦ οἱ βλάσφημοι, οἱ ἀρνηταὶ τῶν ἁγίων εἰκόνων· διὰ σοφῶν σου ῥημάτων καὶ λόγων καθ' ὃ τιμὴ διαβαίνει ὡς ἔφησας· εἰς πρόσωπον τοῦ ἐπ' αὐταῖς.[1] παντελῶς δὲ αὐτοὺς ἐξωστράκισας.

Βραβεῖα παρὰ Χριστοῦ ἀπέσπασες, ὡς αὐτοῦ τηρῶν ὀρθὰς παραδόσεις· ὅτι εἰκόνων Ἁγίων ἠμύνθης, καὶ κακοδόξων δυσσέβειαν ἤλεγξας· καὶ εἴληφας ὡς ἀριστεύς, ἀθλητοῦ καὶ Ὁσίου τὸν στέφανον.

Ἱκέτευε, ἐκτενῶς πρὸς Κύριον, ἐξ ἡμῶν παρακαλῶν καὶ πρεσβεύων· ὅτι δεήσεις δικαίου ἀκούει, ὡς καὶ πιστοῦ καὶ ὁσίου αἰτήματα· καὶ ῥύσῃ ἡμᾶς ἐκ δεινῶν, καὶ φθορᾶς, ὁ Θεός, ὡς φιλάνθρωπος.—

1.(ἢ) εἰς πρότυπον καὶ εἰς Θεόν,...

ᾨδὴ ς'. Συνέχεια.

— Οὐχ ἥμαρτεν ἄλλος τις ὦ Κύριε, ὡς ἐμὲ εἰς τὸν ἐπίγειον βίον· ἀλλ' ὡς Θεὸς τοῦ ἐλέους ὑπάρχων, καὶ ὡς ποιητὴς τῶν ἁπάντων ἀδέκαστος· τῆς κρίσεως τῆς φοβερᾶς, Θεοφάνους, πρεσβείαις ἐλέησον.

— Νῦν πέλει, τῶν ἀσθενούντων ἄριστον, καὶ ἀδάπανον ἡμῖν ἰατρεῖον· Καμαριωτίσσης εἰκών σου, Παρθένε, ἣν προσκυνοῦντες ἐν πίστει βοῶμέν σοι· αἰτούμεθά σου Ἀγαθή, τοῦ Υἱοῦ σου τὸ πλούσιον ἔλεος.

## Κοντάκιον.

Ἦχος β'. - Τὰ ἄνω ζητῶν...

— Ἐξ ὕψους λαβών, τὴν θείαν ἀποκάλυψιν ἐξῆλθες σπουδῇ, ἐκ μέσου τῶν θορύβων, καὶ μονάσας Ὅσιε, ἐνεργείας θαυμάτων εἴληφας, καὶ προφητείας χάρισμα, συμβίου καὶ πλούτου στερούμενος.

## Ὁ Οἶκος.

— Ἐπὶ τῆς γῆς μηδὲν προτιμήσας, ἠκολούθησας χαίρων τῷ καλοῦντι σε Χριστῷ· καὶ τὸν ζυγὸν αὐτοῦ ἔλαβες ἐπὶ τῶν ὤμων τῶν σῶν προθύμως, καὶ ἀνάπαυσιν εὗρες τῇ ψυχῇ σου· ἣν πὲρ κἀμοὶ τῷ πτωχῷ καὶ ῥαθύμῳ κατάπεμψον, τῷ λέγοντι καὶ μηδόλως ἐκτελοῦντι, ἀλλ' ἔτι σχολάζοντι, ἐν τοῖς τοῦ βίου πράγμασι, καὶ θαυμάζοντι, πῶς πάντα ἔφυγες, συμβίου καὶ πλούτου στερούμενος.

## Συναξάριον.

— Τῇ ΙΒ' τοῦ μηνὸς Μαρτίου, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Θεοφάνους τῆς Σιγριανῆς, τοῦ ἐν τῇ νήσῳ Σαμοθράκῃ κοιμηθέντος, τῷ 818.

Στίχοι: — Θεόφανες φάνηθι πιστοῖς προστάτης, Τιμῶσι πιστῶς σὸν μετ' εἰρήνης τέλος.

www.tezaurliturgic.ro



— Δωδεκάτη φθινύθοντος ἀπῆρε βίου Θεοφάνης.

ΘΕΟΦΑΝΗΣ ὁ Ὅσιος Πατὴρ ἡμῶν ἐγεννήθη ἐν Κωνστ/πόλει περὶ τὸ ἔτος ψνθ΄ (759). Οἱ γονεῖς του ὑπῆρξαν εὐγενεῖς καὶ πλούσιοι ἄρχοντες τῆς Θεσσαλονίκης, καὶ ὁ μὲν πατὴρ αὐτοῦ ἐκαλεῖτο Ἰσαὰκ καὶ ἦτο στρατηγός, ἡ δὲ μήτηρ του ὠνομάζετο Θεοδότη. Ἡ ἰδία ἀνέλαβε τὴν ἐκπαίδευσιν τοῦ υἱοῦ της, καθ᾽ ὅτι ἔμεινεν ὀρφανὸς ἐκ τῆς παιδικῆς του ἡλικίας. Ἐδίδαξε εἰς τὸν Θεοφάνη τὰ ἑλληνικὰ γράμματα καὶ τὴν κατὰ Χριστὸν διδασκαλίαν, δωδεκαετῆ δὲ ἔτι ὄντα τὸν ἐνύμφευσε καὶ παρὰ τὴν θέλησίν του μετά τινος ἐναρέτου, πλουσίας, εὐγενοῦς καὶ ὡραιοτάτης νέας, ὀνόματι, Μεγαλώ, μετὰ τῆς ὁποίας καὶ συνέζησε — ἐν παρθενίᾳ — ὀκτὼ ἔτη.

— «Ὁλόκληρος ὁ βίος τοῦ Ὁσίου Θεοφάνους, καὶ τὸ μέγα ἔργον αὐτοῦ πρὸς τὴν Ἐκκλησίαν, ὑπάρχει εἰς τὰ Μηναῖα, (12 Μαρτίου) ἡμέραν τῆς μνήμης αὐτοῦ. Τὸ παρὸν ἐν συνεχείᾳ ἀπόσπασμα, ἀναφέρεται μόνον εἰς τὰ τῆς Παραμονῆς του ἐν τῇ νήσῳ, καὶ ταῦτα ἐξ ὅσων διεσώθησαν ἐκ παραδόσεως καὶ μόνον, ἕως τῆς Τρίτης δεκαετίας τοῦ Κ΄ (20ου) αἰῶνος. Ἐπὶ τούτοις, συνετάγη ὑπ᾽ ἐμοῦ καὶ ἡ Ἀκολουθία τοῦ Ὁσίου. Σήμερον αἱ τοιαῦται παραδόσεις ἐξέλιπον παντελῶς». Ὑπάρχει καὶ εἰς τὴν ὑπ᾽ ἐμοῦ ποιηθεῖσαν, ἐγκριθεῖσαν καὶ ἐκδοθεῖσαν Ἱ. Ἀκολ. τῆς Παναγίας τῆς Καμαριωτίσσης, ἐκδόσεως Ἀποστ. Διακονίας 1990, ἐξ ἧς ἐλήφθη.

« Οὗτος ὁ Ὅσιος πατὴρ ἡμῶν, ἐν ἀρετῇ ὅλως ἐκ νεότητος βιώσας καὶ τὸ Ἀγγελικὸν σχῆμα λαβών, ὑπέρμαχος θερμότατος τῶν ἱερῶν εἰκόνων ἐγένετο, ἐλεγκτὴς δὲ τῶν εἰκονομάχων αὐστηρότατος. Λέοντα τὸν δυσσεβῆ, τὸν εἰκονομάχον, ἐπιτιμῶν καὶ διελέγχων, ταλαιπωρίας ὑπέστη καὶ εἱρκτῇ ὑπ᾽ αὐτοῦ ἐνεκλείσθη. Τέλος ὑπερόριος ἐν τῇ νήσῳ Σαμοθράκῃ γέγονεν. Ἄγεται δὲ ἐν ὡρανκτὸς καὶ ἐν αὐτῇ τινὶ καταλιμπάνεται, ἐν σφοδροτάτῳ

ψύχει καὶ ἀνέμῳ. Πρωΐας δὲ γενομένης, περιεβλέπετο ἰδεῖν οἰκητήριόν τινα οἶκον, ἐφ' ὅσον ἄνθρωπον οὐχ ἑώρα. Ὅτε δὲ μετὰ πολλοῦ, τὸ δεύτερον ἐπετύχθη, παρ' αὐτῶν ἐπυνθάνετο, εἰ καὶ ὧδε εἰκονοκλάσται εἰσί. Παρ' αὐτῶν βεβαιωθέντος περὶ τοῦ ἀντιθέτου, εἰρηκότων αὐτῷ ὅτι: «καὶ ναοὺς ἔχομεν ϗ τὰς εἰκόνας σεβόμεθα καὶ εὐλαβῶς αὐτὰς προσκυνοῦμεν· καὶ ὧδε μικρὸν οἶκον προσευχῆς ποιήσαντες, τὴν Παναγίαν τὴν Παμμακαριώτισσαν – τὴν Μουσαρίτισσά μας[1] – καθ' ἑκάστην θεραπεύομεν καὶ τὴν βοήθειαν καὶ τὸ ἔλεος τοῦ Υἱοῦ Αὐτῆς ἐξαιτούμεθα».

Ὑποδείξαντες δὲ τῷ ἐπισκέπτῃ, τῷ τῆς Ἀειπαρθένου Ναΐσκῳ καὶ τὴν ἐν αὐτῷ ἐξηγήσαντο. Ἰδὼν οὖν ταύτην καὶ γονυπετήσας, ἐνηγκαλίσατο καὶ ἠσπάζετο ἐπὶ πολὺ καὶ δάκρυσιν περιέβρεξε, δοξάζων τὸν Κύριον Ἰησοῦν Χριστόν, ὅτι ἠξιώθη ἰδεῖν καὶ πάλιν τὴν γλυκεῖαν μορφὴν τῆς Παναγίας καὶ Μητρὸς Αὐτοῦ.

Λέγεται δὲ ὅτι, οὐδὲ ἐπὶ στιγμὴν ἀπεχωρίσθη Αὐτῆς, ἕως οὗ ἐν εἰρήνῃ ἀνεπαύσατο καὶ μακαρίως παρέδωκε τὸ πνεῦμα εἰς τὸν Πλάστην καὶ Θεόν.

Τῆς ὁσιότητος τοῦ Θεοφάνους, παραγενομένου εἰς Σαμοθράκην, ταχέως διαδοθείσης ἐν τοῖς περιχώροις, ἱκανὸς ἀριθμὸς ἀνδρῶν τε καὶ γυναικῶν καθ' ἑκάστην ἐπεσκέπτοντο τοῦτον, ἵνα ὑπηρεσίαν τινὰ ἢ ἀναγκαῖόν τι προσφέρωσι τῷ ταλαιπωρημένῳ ἐπισκέπτῃ καὶ τῶν εὐχῶν αὐτοῦ ἀπολαύωσιν.

Ἄγνωστον πῶς, ἴσως ἐκ σεβασμοῦ καὶ μόνον, ὠνόμαζον αὐτὸν καὶ προσεφώνουν τοῦτον Δέσποτα.

Εὐλογίας τοῖς πᾶσι παρεῖχεν ὁ Ὅσιος καὶ ἰάσεις ἀναριθμήτους, ἐπ' αὐτοῖς προσευχόμενος, ἐν ταῖς ὀλίγαις ἡμέραις τῆς ζωῆς αὐτοῦ. Ὅτε δὲ ὁ Κύριος τὸ πνεῦμα

1. Οἱ τότε ἀπλοῖ, οὕτως ἀπεκάλουν ταύτην, διὰ τὸ ἐπισκεφθῆναι ὠσεούς.

www.tezaurliturgic.ro



Συνέχεια Συναξαρίου.

— αὐτοῦ προσελάβετο, ὀσμῆς εὐωδίας ἐνεπλήσθη ὁ τόπος ἐν ᾧ ἔκειτο ὁ Ὅσιος.

Ἐπὶ δὲ τῆς νεκρικῆς κλίνης εὑρισκομένου, συνέωθουντο πολλοὶ ἵνα ἅψωνται τούτου καὶ σπογγίζοντες διὰ τεμαχίων ὑφασμάτων ἢ σπόγγων ἐμποτισμένων ὕδατος, ἤλειφον ἑαυτοὺς καὶ τὰ ἀσθενῆ σημεῖα τοῦ σώματος αὐτῶν καὶ τὴν ῥῶσιν ταχέως ἀπέκτων. Τὰ δὲ κτήνη, ὡς καὶ τὰ ποίμνια αὐτῶν, οἱ ποιμένες ῥαντίζοντες, τῆς ἐπιδημικῆς ἐπιζωοτίας καὶ τῆς πανώλους διέσωζον.

Οὕτως ἡ νῆσος, πολλὰς εὐεργεσίας καὶ εὐλογίας ἔλαβεν, ἐκ τῆς ἐπισκέψεως καὶ τῆς ἐπιδημίας εἰς Κύριον, τοῦ Ὁσίου τούτου Πατρὸς ἡμῶν, Θεοφάνους τοῦ Ὁμολογητοῦ.

---

Αὐτοῦ ταῖς ἱκεσίαις καὶ πάντων τῶν Νεομαρτύρων, σὺν ταῖς πρεσβείαις τῆς Παναχράντου σου Μητρός, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

1) Ἡ προσωπικότης τοῦ Ὁσίου τούτου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Θεοφάνους, διακριθέντος διά τε τὴν ὁσιότητα τοῦ βίου, τὴν εὐθαρσῆ περὶ Πίστεως ὁμολογίαν, καὶ τὴν συγγραφικὴν ἱκανότητα, συνετέλεσεν, ὥστε πολλοί, ἀνεξαρτήτως ἀλλήλων, νὰ ἀσχοληθοῦν μὲ τὴν συγγραφὴν τοῦ Βίου αὐτοῦ. Ὅθεν λίαν ἐνωρὶς προῆλθον εἰς τὸ φῶς τῆς δημοσιότητος ἱκανοὶ Βίοι, μὲ μικράς τινας παραλλαγὰς μεταξύ των.

Ὁ Ὅσιος Νικόδημος σημειοῖ, ὅτι ἐν τῇ Ἱερᾷ Μονῇ τῶν Ἰβήρων σώζονται δύο Βίοι τοῦ Ἁγίου, ὧν τοῦ μὲν ἑνὸς ἡ ἀρχή «Ἔμπρακτον κάλλος», τοῦ δὲ ἑτέρου «Ὥσπερ λειμὼν εὐανθής» καὶ τοῦ μὲν πρώτου συγγραφέα κατονομάζει τὸν Πατριάρχην Μιχαήλ, τοῦ δὲ ἑτέρου οὐδένα ἀναφέρει. Ἐν τῷ ἐξαιρέτῳ περιοδικῷ τοῦ Πατριαρχείου Ἀλεξανδρείας «Ἐκκλησιαστικὸς Φάρος», τόμος ΙΒ΄ (1913) (σελ. 95-96 καὶ 113—163) ἐδημοσιεύθη ἕτερος Βίος τοῦ Ἁγίου συγγραφεὶς ὑπὸ τοῦ Κωνσταντινουπόλεως Μεθοδίου Α΄ (842—846), ὅστις, ὡς σημειοῦται ἐν αὐτῷ, πρῶτος πάντων ἔγραψε τὸν Βίον τοῦ Ἁγίου. Ὁ αὐτὸς Βίος ἐξεδόθη καὶ ὑπὸ τοῦ Β. Λατύσεβ εἰς τὸ Ἀρχεῖον τῆς Ρωσικῆς Ἀκαδημίας, VIII σειρά, VIII, 4 (1918), σ. 1—40. Εἰς τὰ Acta Sanctorum τοῦ J. Bollandus, τόμ. Β΄ τοῦ Μαρτίου σελ. 900, δημοσιεύεται ἕτερος Βίος τοῦ Ἁγίου συγγραφεὶς ὑπὸ Συμεὼν τοῦ Μεταφραστοῦ. Ἕτερον Βίον συνέγραψεν ὁ Μοναχὸς καὶ σκευοφύλαξ τῶν Βλαχερνῶν Νικηφόρος. Τύποις οὗτος ἐξεδόθη ὑπὸ G. de Boor ἐν «Θεοφάνους Χρονογραφία», ἐκδοθείσῃ ἐν Βόννῃ. Ἀλλὰ καὶ ἕτεροι Βίοι τοῦ Ἁγίου παραδίδονται συγγραφέντες παρ᾽ ἀνωνύμων, περὶ ὧν γράφει σχετικῶς ὁ Μανουὴλ Γεδεὼν (Βυ-

www.tezaurliturgic.ro

—165— ζαντινὸν Ἑορτολόγιον, Κωνσταντινούπολις, 1899, σ. 290—293) καὶ ὁ Karl Krumbacher.

Ἐγκώμιον εἰς τὸν Ὅσιον τοῦτον Θεοφάνην ἐποίησεν ὁ Ὅσιος Θεόδωρος ὁ Στουδίτης (βλ. Gh. Van de Vorst, ἐν Analecta Bollandiana (1912) σ. 19—23). Ἕτερον ἐπίσης ἐγκώμιον ἔγραψεν ὁ Θεόδωρος ὁ πρωτασηκρῆτις. Ἀκολουθίαν εἰς τὸν Ἅγιον τοῦτον ἐξέδωκεν ὁ I. Coar, ἐν «Θεοφάνους Χρονογραφίᾳ», Παρίσιοι 1655 σ. 12—14. Ἡ αὐτὴ Ἀκολουθία ἐπανεξεδόθη ὑπὸ τοῦ Ἀβ6ᾶ Migne ἐν τῇ Ἑλληνικῇ Πατρολογίᾳ τόμ. 108, σ. 45—54. Ἑτέραν Ἀκολουθίαν κατεῖχεν, ὡς σημειοῖ, ὁ Λεοντουπόλεως Σωφρόνιος Εὐστρατιάδης.

Τὸ συγγραφικὸν ἔργον τοῦ Ὁσίου τούτου Θεοφάνους, διὰ τὸ ὁποῖον καὶ διεκρίθη κατὰ τοὺς 6υζαντινοὺς χρόνους, εἶναι ἱστοριογραφικὸν καὶ συνίσταται κυρίως ἐκ τῆς «Χρονογραφίας», ἥτις φέρει καὶ τὸ ὄνομά του (Θεοφάνους Χρονογραφία). Ἐν αὐτῇ ἐκτίθενται τὰ λαβόντα χώραν γεγονότα ἀπὸ τῆς ἀναλήψεως τῆς 6ασιλείας ὑπὸ τοῦ Διοκλητιανοῦ (284), μέχρι τῆς πτώσεως τοῦ Μιχαὴλ Α' τοῦ Ραγκαβὲ (813). Εἰς τὸ ἔργον του τοῦτο ὁ Ὅσιος Θεοφάνης εἰσήγαγε τὸ σύστημα τῆς κατὰ χρονολογικὴν σειρὰν ἀναγραφῆς τῶν γεγονότων. Ἐν αὐτῇ ἀναφέρει καὶ τὰ ἔτη τῆς 6ασιλείας τῶν αὐτοκρατόρων καὶ τῶν 5 Πατριαρχῶν. Εἰς τὸ ἔργον τοῦτο ὁ θεῖος Θεοφάνης περιεκινήθη κατόπιν παρακλήσεων τοῦ ἐπιστηθίου φίλου του Γεωργίου Συγκέλλου (810—811).

Ὁ Γεώργιος Σύγκελλος ὑπῆρξεν ἐξ ἀπορρήτων γραμματεὺς τοῦ Πατριάρχου Ταρασίου (784—806). Μετὰ δὲ τὸν θάνατον τούτου ἀποσυρθεὶς εἰς Μονὴν ἔγραψε τὸ ἔργον «Ἐκλογὴ Χρονογραφίας». Αὕτη ἀρχομένη ἀπὸ κτίσεως κόσμου, φθάνει μέχρι τῆς ἐποχῆς τοῦ Διοκλητιανοῦ. Σκοπὸς τοῦ Συγκέλλου ἦτο νὰ φέρῃ τὸ ἔργον αὐτὸ εἰς πέρας διὰ τῆς συγγραφῆς τῆς ἱστορικῆς ἐξελίξεως τῶν γεγονότων μέχρι τῶν ἡμερῶν του. Ἀσθενήσας ὅμως καὶ προβλέπων ἐπικείμενον τὸν θάνατον, παρεκάλεσε τὸν Ὅσιον Θεοφάνην, τὸν ὁποῖον ἔκρινεν ὡς καταλληλότερον, λόγῳ τῆς μορφώσεώς του, νὰ τὸ συνεχίσῃ ἐκεῖνος. Συγχρόνως παρέδωσεν εἰς αὐτὸν καὶ τὸ ἀπαιτούμενον πρὸς τοῦτο ὑλικόν, τὸ ὁποῖον ἐκεῖνος εἶχε συγκεντρώσει. Ὁ Ὅσιος Θεοφάνης συνεχίσας τὸ ἔργον εἰργάσθη πρὸς τοῦτο μεταξὺ τῶν ἐτῶν 811—814.

Ἡ συμβολὴ τοῦ Ὁσίου Θεοφάνους εἰς τὴν ἱστορίαν, διὰ τοῦ ἔργου τούτου, ὑπῆρξε μεγάλη. Ἐκ τούτου ἠρύσθησαν καὶ ἱκανῶς αὐτὸ ἐχρησιμοποίησαν μεγάλοι συγγραφεῖς, ὅπως ὁ Κεδρηνός, ὁ Ζωναρᾶς, ὁ Σκυλίτζης καὶ ἄλλοι. Ὁ σοφὸς Βαυαρὸς Βυζαντινολόγος Karl Krumbacher (1856—1909), καθηγητὴς τῆς Ἱστορίας τῆς Βυζαντινῆς Φιλολογίας ἐν τῷ Πανεπιστημίῳ τοῦ Μονάχου, εἰς τὸ ἀριστουργηματικὸν ἔργον του «Ἱστορία τῆς Βυζαντινῆς Λογοτεχνίας», ὡς ἑξῆς διὰ τὸ ἔργον τοῦτο ἐκφράζεται· «...πλείστας ἄλλας 6υζαντινὰς χρονογραφίας ὑπερέ6αλε κατὰ τὰ πράγματα τὸ μακρὸν τοῦ Θεοφάνους ἔργον, ὅπερ πολλὰς ἀπολεσθείσας πηγὰς ἀντικαθιστᾷ, καὶ ὑπῆρξε μία τῶν κυριωτέρων πηγῶν τῶν κατόπιν χρονογράφων».

Τὴν Χρονογραφίαν τοῦ Θεοφάνους συνέχισαν μετὰ ταῦτα ἀνώνυμοί τινες χρονογράφοι ὁρισθέντες πρὸς τοῦτο ὑπὸ τοῦ αὐτοκράτορος Κωνσταντίνου Ζ' τοῦ Πορφυρογεννήτου (913—959), οἵτινες καὶ ἐπεξέτειναν ταύτην ἀπὸ τοῦ ἔτους 813 μέχρι τοῦ ἔτους 961. Οὗτοι, καθὸ ἀνώνυμοι, ἀποκαλοῦνται «Οἱ μετὰ τὸν Θεοφάνη» (Theophanes Continuati). Τὸ ἔργον τοῦ Θεοφάνους, μεταφρασθὲν λατινιστὶ ὑπὸ Ἀναστασίου τοῦ 6ι6λιοθηκαρίου, κατέστη πηγὴ τῆς ἱστορίας διὰ τοὺς Δυτικούς. Τύποις ἐξεδόθη κατὰ καιροὺς ὑπὸ πολλῶν. Θαυμασία εἶναι ἡ ὑπὸ G. de Boor, Γερμανοῦ φιλολόγου, ἔκδοσις εἰς δύο τόμους ἐν Λειψίᾳ (1883—1885). Κ.Δ.Π. - - - - -

www.tezaurliturgic.ro



## Καταβασίαι. Αἱ κατὰ τὴν περίοδον τυχοῦσαι.

### ᾨδὴ ζ΄. Ὁ εἱρμός. «Οἱ ἐκ τῆς Ἰουδαίας...»

—Ἅγιε τοῦ Θεοῦ...

— Ἀρωγόν σε καὶ στῦλον, ὦ Θεόφανες, εὗρεν ἡ Ἐκκλησία Χριστοῦ, τιμῶσα τοὺς ἀγῶνας, τὴν μνήμην σου γεραίρει, εὐφημοῦσα καὶ ψάλλουσα· Ὁ τῶν Πατέρων ἡμῶν, Θεός, εὐλογητὸς εἶ.

— Νομικῶς κατοχυρώσας, ὦ Θεόφανες Πάτερ, ὁμολογίαν σεπτήν· ἡ δόξα διαβαίνει, εἰς πρόσωπον ἁγίων, ὃ φρονοῦμεν γεραίροντες· ὡς οἱ Πατέρες ἡμῶν, ἱερανῶς ἀναβοῶσιν.

— Ἁγιώτατον σκῆνος, Σαμοθράκη δεχθεῖσα ἐν εὐλογίαις πολλαῖς· χαρίτων θαυμασίων, θαυμάτων ἐξαισίων, καθ' ἑκάστην πληρούμεθα. Ὁ τοῦ Ὁσίου Πατρός, Θεός, εὐλογητὸς εἶ.

— Φωτεινῇ διανοίᾳ, κατετρόπωσας Πάτερ, τοὺς ἀρνητὰς τῶν σεπτῶν, εἰκόνων τῶν Ἁγίων, Χριστοῦ καὶ Παναγίας, ὡς τιμῶντες κραυγάζομεν· Ὁ τῶν Πατέρων ἡμῶν, Θεός, εὐλογητὸς εἶ.

— Ὦ, Πανύμνητε Μῆτερ, ἀμελείᾳ τὸν βίον, ἐκδαπανήσας πολλῇ· ἱκέτης τοῦ Υἱοῦ σου, προσπίπτω καὶ βοῶ σοι, μεταμέλειαν δώρησαι· ἵνα ἀξίως ὑμνῶ, τὴν δόξαν σου, Παρθένε. —

### ᾨδὴ η΄. Ὁ εἱρμός. «Τὸν Βασιλέα τῶν οὐρ.»

— Νῦν μετ' Ἀγγέλων ἐν οὐρανοῖς συγχορεύεις, μεθ' ἁγίων καὶ Ὁσίων ὑμνεῖσαι· καὶ δοξολογεῖσαι, Θεόφανες τρισμάκαρ.

— Ὡς ἀριστέα καὶ μαχητήν, στεφανοῖ σε ὁ Χριστός, ὦ Θεόφανες Πάτερ· καὶ μακαριστὸς εἶ, εἰς πάντας τοὺς αἰῶνας. —

www.tezaurliturgic.ro



ᾨδὴ η'.

Ὑπερορίαν εἰς ἐσχάτην ὑπέστης, καὶ τὸ ἐπώδυνον ἐν αὐτῇ ἀπετέλεσας· ἣν ἐν εὐλογίαις, πικροῖς καὶ πλουσίως.—

Εὐλογοῦμεν, Πατέρα, Υἱόν, καὶ Ἅγιον Πνεῦμα, τὸν Κύριον.

Μεμυημένος ταῖς ἀρεταῖς ἐν τῷ βίῳ, καὶ τὸ σχῆμα τῶν Ἀγγέλων ὑπέδυς· νῦν εἰς βασιλείαν, Χριστοῦ, παρακαλεῖσαι.—

Καὶ νῦν...

Νῦν ὡς Μητέρα καὶ Ἁγνὴν καὶ Παρθένον, εὐσεβῶς μελῳδοῦμεν ἐν ὕμνοις· καὶ ὑπερυψοῦμεν, σὲ Κόρη εἰς αἰῶνας.

ᾨδὴ θ'. Ὁ εἱρμός. «Κυρίως Θεοτόκον...»

Ὁρῶντές σου τὸν βίον, τὴν ἀμεμψίαν, ὑπὲρ εἰκόνων, Πάτερ, ἣν δέδωκας· χριστιανῶν αἱ χορεῖαι, σὲ μακαρίζουσιν.

Ἅγιε τοῦ Θεοῦ...

Νοσούντων, ἰατρεῖον, ἔφυς καὶ προστάτην, ἢ θαυμα-τουργὸν καὶ θεῖον διδάσκαλον· ὑπὲρ τῶν σε τιμώντων, Ὅσιε, πρέσβευε.

Γενναίως ἠγωνίσθης, ὑπὲρ εὐσεβείας· καὶ Λεοντίου τὰ βέλη ἐστόμωσας· διὰ ἐλέγχων σου, Πάτερ, τοῦτον ἐφίμωσας.

Δόξα...

Ἱλάσθητί μοι, Σῶτερ, ἐκ τῶν ἀνομιῶν μου, καὶ ἁμαρτιῶν μου, τὰ πάθη θεράπευσον· ὡς ὁ τελώνης βοῶ σοι, λύσιν καὶ δώρησαι.

Καὶ νῦν...

Γαλήνην, ὦ Παρθένε, θερμῶς ἱκετεύω, ἐν τρικυμίαις τοῦ βίου μοι δώρησαι· ἵνα ὑμνῶ καὶ δοξάζω, καὶ μεγαλύνω σε.—

---

Μετὰ τὴν Τιμιωτέραν καὶ τὴν Ἐνάτην τῶν Καταβασιῶν.

Ἐξαποστειλάρια.

Τοῦ Ὁσίου Θεοφάνους.

Ἦχος γ'. Πρὸς τὸ «Ὁ Οὐρανὸν τοῖς ἄστροις...»

Καὶ τῆς Παναγίας τῆς Καμαριωτίσσης. Ὅμοιον.

www.tezaurliturgic.ro



## Ἐξαποστειλάριον. —τοῦ Ὁσίου:

—Ὑπερορίας ἐν χρόνοις, θείων εἰκόνων τοῦ Χριστοῦ,
σὺ Σαμοθράκῃ τὸ σκῆνος, τοῦ Θεοφάνους τὸ σεπτόν
ἐδέχθης εἰς προστασίαν, ἀπὸ παντοίων κινδύνων.—

Ἕτερον. Ὅμοιον.

—Ὑπερορίαν οἶδας, ὑπὲρ εἰκόνων τοῦ Χριστοῦ,
τῆς Παναχράντου Δεσποίνης, καὶ τοῦ Θεοῦ τῶν ἐκλεκτῶν·
εἰς Σαμοθράκην ἐνθέτως, σὸν ἱερώτατον σκῆνος.

Θεοτοκίον. Ὅμοιον

—Ἀποδημίαν οἶδας, ἐν τῷ καιρῷ τῶν διωγμῶν,
σὺν Θεοφάνει τὴν νῆσον, καταλαμβάνεις καὶ οἰκεῖς·
καὶ προστασίαν παρέχεις, τοῖς ἀποδήμοις, Παρθένε.—

## Εἰς τοὺς Αἴνους. —Ἦχος δ'.

### Στιχηρὰ Προσόμοια. «Ὁ ἐξ Ὑψίστου κληθείς...»

1.—Ὑπὲρ εἰκόνων λαμπρῶς ὑπερμαχήσας·
Ὅτε τὸ λεόντειον μένος ἐμαίνετο,
τοῦ δυσσεβοῦς αὐτοκράτορος καὶ θεομάχου,
τῆς ἐκκλησίας καὶ τοῦ πληρώματος.
Τότε σύ, Θεόφανες, τοῦτον διήλεγξας,
ταλαιπωρίας δεξάμενος, ὑπερορίαν·
εἰς Σαμοθράκην ἤχθης, ὁ Ὅσιος·
Ὅθεν τὸ σκῆνος ἐναπέθεσας,
τὸ δὲ πνεῦμα Χριστὸς προσελάβετο·
ὃν ἱκέτευε, πάτερ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.—

2.— Ὁ τῶν εἰκόνων ὑπέρμαχος ἐδείχθης·
Ὅτε τὸ λεόντειον μένος ἐνέσκηψε,

www.tezaurliturgic.ro



εἰκονομάχου τοῦ ἄρχοντος τοῦ Βυζαντίου,
πιστῶν ταράττοντος τὴν ἑνότητα.
Τοῦτον σὺ διελέγξας καὶ ἐπιτιμήσας,
ὡς θεομάχον καὶ κήρυκα τῆς ἀσεβείας·
ὑπερορίας πεῖραν ἐγνώρισας·
ὅθεν Χριστός σε ἀντημείψατο
καὶ ἰάσεις τὴν νῆσον ἐνέπλησας·
ὃν ἱκέτευε ῥῦσαι, τῶν παγίδων τὰς ψυχὰς ἡμῶν.

3.— Ὑπὲρ εἰκόνων γενναίως ἠγωνίσθης·
ὅτε ὁ Ἀρμένιος θὴρ ἐπεκράτησε,
τῆς βασιλίδος τῶν πόλεων, τῆς οἰκουμένης,
ὀρθοδοξίας ὁ μιαρώτατος.
Πάτερ σὺ Θεόφανες, τούτῳ ἀντέστησας,
ὁμολογίαν θεάρεστον, καὶ τῶν εἰκόνων,
διακηρύττων τὴν σεπτότητα.
Ὧδε ἀφίχθης ὑπερόριος
καὶ δοξάζων Χριστὸν τὸν Θεὸν ἡμῶν·
ὃν ἱκέτευε σῶσαι καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

4.— Ὁ ἐναρέτως τὸν δρόμον διανύσας,
σῶμα τῆς ἀσκήσεως πόνοις ἐλέπτυνας
καὶ τῶν Ἀγγέλων ἐβίωσας τὴν πολιτείαν·
ὀρθοδοξίας στῦλε ἀκλόνητε.
Λέοντα τὸν τύραννον σὺ ἐπετίμησας,
τὴν τῶν εἰκόνων προσκύνησιν διακηρύξας,
τῆς ἐκκλησίας τὴν ὡραιότητα·
ὅθεν μετέστης εἰς οὐράνιον,
βασιλείαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν·
ὃν ἱκέτευε, Πάτερ, λυτρωθῆναι τὰς ψυχὰς ἡμῶν.

www.tezaurliturgic.ro



## —Δόξα... Ἦχος πλ. α'.

— Πάσας τὰς ἀρετάς, ἐν σοὶ ἀνεμάξω, μακάριε· σου ψυχὴν καὶ σῶμα θεόντως κατεκάλλυνας· καὶ στῦλος ἀνεδείχθης ὀρθοδοξίας, ἀπερίτρεπτος, ἅγιε.
Τῶν πενήτων κατέστης ὁ θησαυρός, τῶν μοναστῶν ἡ καλλονή, ὁ ἰατρὸς τῶν ἀσθενῶν· τῆς εὐκοσμίας τὸ ἐγκαλλώπισμα, τῆς εὐσεβείας ὁ θεῖος διδάσκαλος, ἡ δόξα τῶν Ὁσίων.
Τὸ μὲν πανίερόν σου σκῆνος ἡ Σαμοθράκη ἐνεκολπώθη, τὴν δὲ ψυχήν σου τὴν ἁγίαν, ὁ Κύριος προσελάβετο, καὶ νῦν μετὰ Ἀγγέλων, ἐν Παραδείσῳ εὐφραίνεσαι.
Ἀλλ' ὦ, μάκαρ Θεόφανες, ὡς παριστάμενος τῷ θρόνῳ, Χριστοῦ τοῦ Παντάνακτος· αἴτησαι, εἰρηνεῦσαι τὴν εὐκοσμίαν· καὶ ἵλεως γένηται ἡμῖν, ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως. —

## — Καὶ νῦν... Θεοτοκίον.

—Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἄρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν. —

---

» Δοξολογία μεγάλη. κ.λ.π. ἀναλόγως.

» Ἐν τῇ Μεγάλῃ Τεσσαρακοστῇ — ἐντὸς Σαββάτου καὶ Κυριακῆς — τελεῖται ὁ ἑσπερινὸς μετὰ τῆς Θ. Λειτουργίας τῶν Προηγ. δώρων, ὁπότε· εἰς τό, Κύριε ἐκέκραξα... ἱστῶμεν στίχους ι' (10) καὶ ψάλλομεν τὸ Ἰδιόμελον τῆς ἡμέρας δίς, τὸ Μαρτυρικόν, τὰ γ' Προσόμοια τοῦ Τριῳδίου, καὶ τοῦ Ὁσίου δ', δευτεροῦντες τὸ α'.

www.tezaurliturgic.ro



## Εἰς τὴν Λειτουργίαν.

„ Κοντάκιον· τῆς ἑορτῆς, μεθεόρτου, τῆς περιόδου.

„ Ἀπόστολος — Εὐαγγέλιον. τοῦ Ὁσίου.

„ Σαββάτου κζ´ ἑβδ. Ἐπιστολῶν — Πέμπτης δ´ ἑβδ. Ματθαίου.

Εἰς τὰ Δίπτυχα. Μεγαλυνάριον.

— Χαίροις ὁ ὑπέρμαχος ἀθλητής,
τῶν εἰκονομάχων, αὐστηρότατος ἐλεγκτής·
Σὺ τὴν Σαμοθράκην πληροῖς ἐν εὐλογίαις,
Θεόφανες, πλουσίως ἐν τῇ κοιμήσει σου. —

„ Κοινωνικόν. «Εἰς μνημόσυνον...» Ἀπόλυσις. — *

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro



Ὑπὸ ἱερέως Γεωργίου Ι. Γιαλαμᾶ.

## —Ἀκολουθία ἱερᾶς Παρακλήσεως.

## Εἰς τὸν Ὅσιον καὶ Ὁμολογητήν, Θεοφάνη, τῆς Σιγριανῆς, τοῦ ἐν τῷ Μεγάλῳ Ἀγρῷ, Ναοῦ αὐτοῦ κειμένου.

—Ἡμέρα μνήμης τοῦ Ὁσίου Πατρὸς ἡμῶν, ἡ ιβ' Μαρτίου, ἐν ᾗ ἐκοιμήθη ἐν Σαμοθράκῃ, τῷ 815 ἢ 818 ὑπερόριος ὤν, παρὰ Λέοντος αὐτοκράτορος Βυζαντίου, τοῦ εἰκονομάχου.

—Ἡ ἱερὰ αὕτη Ἀκολουθία, ἡ πέμπτη (5η) κατὰ σειρὰν ὑπὸ τοῦ ἰδίου ποιηθεῖσα καὶ χειρόγραφος οὖσα εἰσέτι, ἀφιεροῦται· εἰς τοὺς Πνευματικούς μου Πατέρας καὶ Ποιμενάρχας: Ἰωακεὶμ Καβίρῃ τῷ καὶ χειροτονήσαντί μοι ἐν Σαμοθράκῃ τῷ 1953, Κωνσταντίῳ Χρόνῃ Ἐπισκόπῳ Ἀλεξ/λεως 1967—1974, καὶ τῷ νῦν Μητροπολίτῃ Ἀλεξανδρουπόλεως—Τραϊανουπόλεως καὶ Σαμοθράκης, κτ., κτ., Ἀνθίμῳ Ρούσσᾳ. Ἔτι δὲ καὶ εἰς τοὺς ἀναδόχους ἐμοῦ: Ἀλέξανδρον, Παναγιώτην καὶ Οὐρανίαν Ἀργυρίου.

Ἐν Καμαριωτίσσῃ τῇ α' Ἰουνίου 1988,
ἡμέρα Τετάρτη.

—Εὐλογήσαντος τοῦ Ἱερέως· ἀρχόμεθα ἀναγινώσκοντες τόν: ΡΜΒ' (142) Ψαλμόν: «Κύριε, εἰσάκουσον τῆς προσ.» Εἶτα:

www.tezaurliturgic.ro



Εἰς ἦχον δ΄ ψάλλομεν τό: Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. (τετράκις). Μὲ στίχους· Εἰς τὸ β΄ (2ον) — Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Εἰς τὸ γ΄ — Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου...

Εἰς τὸ δ΄ — Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθ...

Τροπάρια. Ἦχος δ΄ «Ὑψωθεὶς ἐν τῷ Σταυρῷ»

Τοῦ Ὁσίου

— Τῶν Παραδόσεων Κανὼν καὶ ἐπόπτης,
ὁ τῶν εἰκόνων τῶν Ἁγίων Προστάτης·
τῶν μοναστῶν τὸ κλέος, εὐμαθείας φωστήρ·[1]
σήμερον, ὢν ὑπερόριος, ἐν Σαμοθράκῃ τελευτᾷ·
πλοῦτος χαρισμάτων εἶ καὶ πηγὴ θαυμασίων·
καὶ νοσημάτων ἐστὶ ἰατρός,
ὁ Θεοφάνης, ὁ φύλαξ τῆς πίστεως.

Τῆς Καμαριωτίσσης. Ὅμοιον.

— Δόξα... Καὶ νῦν...

— Τὴν ἐπισκέπτριαν ἡμῶν ἀνυμνοῦμεν,
τὴν θαυματόβρυτον εἰκόνα τιμῶμεν·
τὰς προσευχὰς εἰσάκουσον, Ἁγνή, τῶν πιστῶν,
πρόσδεξαι τὰς ἱκεσίας τε καὶ εὐχὰς ταπεινοῦ ἐμοῦ·
αἴτησαι πρὸς Κύριον, δοῦναι λύσιν πταισμάτων·
καὶ τὴν εἰρήνην βράβευσον ἡμῖν,
ἄχρις αἰῶνος, σεπτὴ Καμαριώτισσα.

---

Ὁ Ν (50) Ψαλμός: «Ἐλέησόν με, ὁ Θεός...» καὶ ὁ Κανών, ποίημα ἱερέως: Γαλαμᾶ Γεωργίου τοῦ Ἰωάννου· οὗ ἡ ἀκροστιχίς: « Θεοφάνους, μελετήσας τὸν βίον, ἀναφωνῶ ὕμνον· Γ.(εώργιος) Ἰ.(ωάννου) Γ.(αλαμᾶς)» 1987.

1. (ἢ) ..., ἐνδείων ὁ σωτήρ· — (ἢ) ... ἐνδείων ὁ τροφεύς·

www.tezaurliturgic.ro

## ᾨδὴ α΄. Ἦχος πλ. δ΄. 

Ὁ Εἱρμός: «Ὑγρὰν διοδεύσας..»

Τροπάρια: — Ἅγιε τοῦ Θεοῦ, πρέσβευε...

—Θεόφανες, ὅσιε, ἐπὶ γῆς, ὅλον σου τὸν βίον, διανύσας ἐν ἀρετῇ καὶ εἰς οὐρανοὺς ἐναποβλέπων, τὴν ματαιότητα κόσμου ἀπέφυγες.

— Ἅγιε τοῦ Θεοῦ...

—Ἑκὼν καταλιπεὶς τὰς κοσμικάς, ἡδονὰς τοῦ βίου, καὶ τὰ πλοῦτη καὶ τὰς τιμάς, καὶ ὡς ἐρημίτης σὺ μονάσας, τοῦ Παραδείσου οἰκήτωρ γεγένησαι.

— Ἅγιε τοῦ Θεοῦ...

—Ὁμόφρων δὲ οὖσα προορισμοῦ, καὶ ἡ σοῦ συμβία καὶ Παρθένος ἡ Μεγαλώ*, μονάσασα ὅλως ἐναρέτως, καὶ εἰς εἰρήνην Χριστοῦ ὀνομάζεται.

— Δόξα...

—Φωτίζων, ἐλέγχων καὶ νουθετῶν, καὶ διακηρύσσων ἐκκλησίας ἐπιταγάς, Χριστοῦ Ἀποστόλων Παραδόσεις, ὀρθοδοξίας Κανὼν ἀκριβέστατος.

—Καὶ νῦν.

—Ἀκλόνητος στῦλος τῆς ἀληθοῦς καὶ τῆς ὀρθοδόξου Παραδόσεως καὶ Γραφῶν, τῆς ὁμολογίας ἡγεμόνης, ὡς τῶν ἁγίων εἰκόνων ὑπέρμαχος.

(ἢ τὸ ἑξῆς Θεοτοκίον.)

—Ἀγγέλων ἡ δόξα ἐν οὐρανῷ, καὶ ἡ προστασία τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, Πανάχραντε Κόρη Θεομῆτορ, εἰς τὴν ὀρθόδοξον πίστιν με στήριξον.

## ᾨδὴ γ΄.

Ὁ Εἱρμός. — «Οὐρανίας ἁψῖδος...»

— Ἅγιε, τοῦ Θεοῦ,...»

—Νεανίας τὸ σῶμα, εἰσέτι μακάριε, πρὸς δὲ τὴν σοφίαν πρεσβύτης, σὺ καταφαίνεσαι· ταῖς ἐνεργείαις ταῖς σαῖς, καὶ ἀρεταῖς σου Θεόφρον, μοναστῶν τὸ καύχημα γέγονας, Ὅσιε.

*Περὶ τοῦ Ὀνόματος Μεγαλώ· Ὅρα εἰς Σελίδα: 16.

www.tezaurliturgic.ro

—4—

—Ἅγιε τοῦ Θεοῦ...

—Οὐρανίοις θαλάμοις, ἡ σοῦ ψυχή, Ὅσιε· καὶ ἐν Σαμοθράκῃ τὸ σῶμά σου ἀνεπαύσατο· διὸ αἰτοῦμεν θερμῶς, τὰς παρακλήσεις ἁπάντων, καὶ ἐμοῦ τὴν δέησιν, Πάτερ, εἰσάκουσον.

—Ἅγιε τοῦ Θεοῦ...

—Ὑπερόριος ἤχθης, Σιγριανῆς, Ὅσιε· ἡ μὲν Ἐκκλησία τιμᾷ, τὴν ὁμολογίαν σου· καὶ τοὺς ἀγῶνας τοὺς σούς, ὡς ἀθλητὴν μετὰ δόξης· ἡ δὲ νῆσος τέρπεται, Πάτερ Θεόφανες.

—Δόξα...

—Σαμοθράκη γεραίρει, τὴν μνήμην σου, Ὅσιε· τὰς ταλαιπωρίας σου πάσας, καὶ τοὺς ἀγῶνάς σου· καὶ ὡς προστάτην ὑμνεῖ, καὶ εὐλογεῖ τὸν Δεσπότην, τῷ σὲ στεφανώσαντι δόξῃ μακάριε.

—Καὶ νῦν...

—Μεγαλύνω καὶ ψάλλω, καὶ ἀνυμνῶ, Ἄχραντε· ὡς ὁ Θεοφάνης προσπίπτω, καὶ κατασπάζομαι· τὴν τῶν θαυμάτων πηγήν, τὴν ἱεράν σου εἰκόνα· τὸ σεπτὸν ἀγλάϊσμα, τὴν Καμαριώτισσαν.

—Διάσωσον ἐκ τῶν παγίδων, τοὺς δούλους σου, Πάτερ· ὅτι πάντες, εἰς τὰς πρεσβείας σου ἀποβλέπομεν· ὡς ἔχων τὴν πρὸς τὸν Θεὸν παρρησίαν.

—Ἄχραντε, ἡ διὰ λόγου, τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν, τεκοῦσα δυσώπησον· ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Δέησις. Ἐκφώνησις.

Κάθισμα. Ἦχος β'.

—Πηγὴ δωρεῶν, ἰάσεις ἀναβρύουσα,
παθῶν ἰατρός, κατέστης ὦ, Θεόφανες,
διὸ καὶ βοῶμέν σοι· Χριστὸν τὸν Δεσπότην ἱκέτευε·
καὶ τῆς γεέννης τῆς φοβερᾶς, λυτρώσῃ ἡμᾶς ὡς πολυεύσπλαγχνος.

www.tezaurliturgic.ro



## Ὠδὴ δ'. Ὁ εἱρμός. «Εἰσακήκοα, Κύριε, τὴν...»

— Ἅγιε τοῦ Θεοῦ...

Ἐν τῇ νήσῳ ὤν πάροικος, τοὺς ἐν ἀσθενείᾳ σοὶ προσεκόμιζον· καὶ δεόμενος, μακάριε, τὰς ἰάσεις ταχέως ἐλάμβανον.

— Ἅγιε τοῦ Θεοῦ...

Λεοντίου δυσσέβειαν, τῆς ὀρθοδοξίας τὸν μιαρώτατον· πάτερ, ἤλεγξας δριμύτατα, καὶ ἠμύνθης σεπτῶν παραδόσεων.

— Ἅγιε τοῦ Θεοῦ...

Ἐξορίαν ὑπέμεινας, καὶ ταλαιπωρίας, Πάτερ Θεόφανες· εἰς Παράδεισον ἐσκήνωσας, ἀτενίζων Χριστοῦ τὴν λαμπρότητα.

— Δόξα...

Τῶν ἀγώνων σου ἔπαθλον, τὸν τοῦ ἀθλοθέτου δέχεσαι στέφανον· μετ' Ἀγγέλων νῦν εὐφραίνεσαι, καὶ ἡ δόξα σου ἐστ' ἀκατάλυτος.

— Καὶ νῦν...

Ἡ εἰκών σου, Πανάχραντε, τῆς Καμαριωτίσσης ἡ θαυματόβρυτος· Σαμοθράκην ἐπεσκέψατο, καὶ προσήνεγκε θεῖον σου ὄνομα.

## Ὠδὴ ε'. Ὁ εἱρμός: «Φώτισον ἡμᾶς, τοῖς...»

— Ἅγιε τοῦ Θεοῦ...

Στήριξον ἡμᾶς, ταῖς εὐχαῖς, Πάτερ Θεόφανες· ἐν τῷ κηρύγματί σου τῷ ἀληθεῖ, ἵνα πρὸς πίστιν ὀρθὴν καλῶς ὁδηγούμεθα.

— Ἅγιε τοῦ Θεοῦ...

Ἅπαντας ἡμᾶς, περιφρούρησον, Θεόφανες, ἐκ τῶν βελῶν καὶ παγίδων τοῦ ἐχθροῦ, καὶ περὶ πάντων, εἰρήνην ἀεὶ αἰτήσασθαι.

— Ἅγιε τοῦ Θεοῦ...

Σθένος ἀρραγές, ἐν ἀγῶσι σου ἐπέδειξας· καὶ καταισχύνοντας σὺ τοὺς δυσσεβεῖς, εἰκονομάχους, τιμὴν εἰκόνων κηρύσσοντας.

— Δόξα...

Τήρησον ἡμᾶς, εἰς ἑνότητα, Θεόφανες· καὶ τοὺς τιμῶντας τὴν μνήμην σου, σοφέ, καὶ ὑπὲρ πάντων, τῷ Δεσπότῃ σου ἱκέτευε.

www.tezaurliturgic.ro



— Καὶ νῦν...

— Οἴκτιρον ἡμᾶς, τοὺς ὑμνοῦντας, Πανύμνητε· καὶ ἐξ ἐνέδρας τοῦ πονηροῦ, καὶ ἀλλοτρίου· ἡμᾶς ἀγαθὴ ἐξέλασον.

## Ὠδὴ ς'. — Ὁ εἱρμός. «Τὴν δέησιν ἐκχεῶ πρὸς Κ.»

— Ἅγιε τοῦ Θεοῦ...

— Νενίκηνται παρὰ σοῦ οἱ βλάσφημοι, οἱ ἀρνηταὶ τῶν ἁγίων εἰκόνων· διὰ σοφῶν σου ῥημάτων καὶ λόγων, καθ' ὃ τιμὴ διαβαίνει ὡς ἔφησας, εἰς πρότυπον καὶ εἰς Θεόν,[1] παντελῶς δὲ αὐτοὺς ἐξωστράκισας.

— Ἅγιε τοῦ Θεοῦ...

— Βραβεῖα παρὰ Χριστοῦ ἀπέσπασες, ὡς Αὐτοῦ τηρῶν ὀρθὰς παραδόσεις· ὅτι ἁγίων εἰκόνων ἠμύνθης, καὶ κακοδόξων δυσσέβειαν ἤλεγξας· καὶ εἴληφας ὡς ἀριστεύς, ἀθλητοῦ καὶ ὁσίου τὸν στέφανον.

— Ἅγιε τοῦ Θεοῦ...

— Ἱκέτευε, ἐκτενῶς πρὸς Κύριον, ἐξ ἡμῶν παρακαλῶν καὶ πρεσβεύων· ὅτι δεήσεις δικαίου ἀκούει, ὡς καὶ πιστοῦ καὶ ὁσίου αἰτήματα· καὶ ῥύσῃ ἡμᾶς ἐκ δεινῶν, καὶ φθορᾶς, ὁ Θεός, ὡς φιλάνθρωπος.

— Δόξα...

— Οὐχ ἥμαρτε, ἄλλος τις ὦ Κύριε, ὡς ἐμὲ εἰς τὸν ἐπίγειον βίον· ἀλλ' ὡς Θεὸς τοῦ ἐλέους ὑπάρχων, καὶ ὡς κριτὴς τῶν ἁπάντων ἀδέκαστος· τῆς Κρίσεως τῆς φοβερᾶς, Θεοφάνους, πρεσβείαις ἐλέησον.

— Καὶ νῦν...

— Νῦν πέλει, τῶν ἀσθενῶν τὸ ἄριστον, καὶ ἀδάπανον ἡμῖν ἰατρεῖον· Καμαριωτίσσης εἰκών σου, Παρθένε, ἣν προσκυνοῦντες ἐν πίστει βοῶμέν σοι· αἰτούμεθά σου, Ἀγαθή, τοῦ Υἱοῦ σου τὸ πλούσιον ἔλεος.

1. ...· εἰς πρόσωπον τοῦ ἐν αὐταῖς, ...

www.tezaurliturgic.ro



— Διάσωσον ἐκ τῶν παγίδων τοὺς δούλους σου, Πάτερ, ὅτι πάντες εἰς τὰς πρεσβείας σοῦ ἀποβλέπομεν· ὡς ἔχων τὴν πρὸς τὸν Θεὸν παρρησίαν. —
— Ἄχραντε, ἡ διὰ λόγου, τὸν Λόγον ἀνερμηνεύτως· ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον· ὡς ἔχουσα μητρικὴν παρρησίαν. —

Δέησις· Μνημόσυνα. — Ἐκφώνησις. Ἀμήν.

## Κοντάκιον. Ἦχος β΄. — Αὐτόμελον.

— Τῆς εὐσεβείας κανὼν* καὶ ὀρθοδοξίας διδάσκαλος·* τῆς ἐγκρατείας φωστὴρ* καὶ στῦλος ὤφθης ἀκλόνητος·* τῶν ἐνδεῶν καὶ ὀρφανῶν ὁδηγός,* τῶν μοναστῶν ἡ καλλονή,* ἡ λύρα τοῦ Πνεύματος.* Τὰς Λεοντίου κακοδοξίας* ἀντέφησας εὐθαρσῶς,* ὡς τῶν εἰκόνων ὑπέρμαχος.*
Πρόσδεξαι ὑμνῳδίας* καὶ θερμὰς ἱκεσίας* καὶ τῷ Δεσπότῃ Χριστῷ τῷ Θεῷ,* Πάτερ, (ταύτας) προσάγαγε. —

---

## Εἶτα: τὸ Α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν, τοῦ δ΄ ἤχου:

— Ἐκ νεότητός μου, πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ... (δίς)
— Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ... (δίς)
— Δόξα Πατρί, ... «Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται...»
— Καὶ νῦν... «Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα...»

## Τὸ Προκείμενον: Ἦχος Δ΄.

— Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ. (τρίς)

## Εὐαγγέλιον. (Λουκᾶ Κεφ. ϛ΄ στίχ. 17–23).

«Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ...»

Ἦχος β΄. — Δόξα... «Ταῖς τοῦ σοῦ Ὁσίου, πρεσβείαις, Ἐλ...»
— Καὶ νῦν... «Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.
Στίχος: Ἐλεῆμον· ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

www.tezaurliturgic.ro

—8—

Εἰς ἦχον πλ. β΄. τὰ παρόντα Προσόμοια· «Ὅλην ἀποθέμεθα...»

— Ὅσιε Θεόφανες, τῶν μοναζόντων τὸ κλέος· τὸ σεπτόν σου σκήνωμα ὧδε ὑπερόριος ἐναπέθεσας· ἀρετάς, Ὅσιε, καὶ ποιῶν διδάσκεις, τῶν εἰκόνων τὴν προσκύνησιν· χρυσὸν καὶ ἄργυρον σόν, τοῖς ἐνδεέσι διένειμας· ἀνθρώποις τε καὶ κτήνεσι τὰς εὐεργεσίας μετέδωκας. Ὅθεν σου τὴν μνήμην, γεραίροντες δοξάζομεν Χριστόν, ὃν παρρησίᾳ ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τῆς Καμαριωτίσσης. Ὅμοιον.

— Χαῖρε, Ἀειπάρθενε, τῆς Σαμοθράκης τὸ κλέος, προστασία ἄμαχε, θησαυρὲ ἀτίμητε, Καμαριώτισσα· τοῖς βροτοῖς πάντοτε, δωρεὰς παρέχεις, τοῖς νοσοῦσι τὰ ἰάματα, πηγὴ ἀενάως, καὶ πρὸς τὸν Υἱόν σου μεσίτρια· Ἀγγέλων ὑπερέχουσα, καὶ τῶν οὐρανῶν ἡ βασίλισσα. Θεία εὐλογία, τῶν πίστει προσκυνούντων σε, Ἁγνή, ἐν παρρησίᾳ νῦν πρέσβευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁ Ἱερεὺς τὴν εὐχήν: «Σῶσον, ὁ Θεὸς τὸν λαόν σου...»

Τό: «Κύριε ἐλέησον.» (12άκις) — ἐκφώνησις — Ἀμήν.

Αἱ ᾠδαί: ζ΄, η΄ καὶ θ΄.

ᾨδὴ ζ΄ — εἱρμός: «Οἱ ἐκ τῆς Ἰουδαίας...»

— Ἅγιε τοῦ Θεοῦ...

— Ἀρωγόν σε καὶ τύπον, ὦ Θεόφανες, εὗρεν, ἡ Ἐκκλησία Χριστοῦ, τιμῶσα τοὺς ἀγῶνας, τὴν μνήμην σου γεραίρει, εὐφημοῦσα καὶ ψάλλουσα. Ὁ τῶν Πατέρων ἡμῶν, Θεός, εὐλογητὸς εἶ.

— Ἅγιε τοῦ Θεοῦ...

— Νομικῶς κατωχύρωσας, ὦ Θεόφανες Πάτερ, ὁμολογίαν σεπτήν· ἡ δόξα διαβαίνει, εἰς πρόσωπον ἁγίου, ὃ φιλοῦμεν γεραίροντες· ὡς οἱ Πατέρες ἡμῶν, τρανῶς ἀναβοῶσιν.

— Ἅγιε τοῦ Θεοῦ...

www.tezaurliturgic.ro



—Ἁγιώτατον σκῆνος, Σαμοθράκη δεξαμένη, ἐν εὐλογίαις πολλαῖς· χαρίτων θαυμασίων, θαυμάτων ἐξαισίων, καθ' ἑκάστην πληρούμεθα. Ὁ τοῦ Ὁσίου Πατρὸς Θεός, εὐλογητὸς εἶ.—

—Δόξα...

—Φωτεινῇ διανοίᾳ, κατετρόπωσας, Πάτερ, τοὺς ἀρνητὰς τῶν σεπτῶν, εἰκόνων τῶν Ἁγίων, Χριστοῦ καὶ Θεοτόκου, ἃς τιμῶντες κραυγάζομεν· Ὁ τῶν Πατέρων ἡμῶν, Θεός, εὐλογητὸς εἶ.—

—Καὶ νῦν...

—Ὦ Πανύμνητε Μῆτερ, ἀμελείᾳ τὸν βίον ἐκδαπανήσας πολλῇ· ἱκέτης τοῦ Υἱοῦ σου, ἀρεσκόντως καὶ βοῶ σοι, μεταμέλειαν δώρησαι· ἵνα ἀξίως ὑμνῶ, τὴν δόξαν σου, Παρθένε.—

Ὠδὴ η'.- Εἱρμός: «Τὸν Βασιλέα τῶν οὐρανῶν.»

—Ἅγιε τοῦ Θεοῦ...

—Νῦν μετ' Ἀγγέλων ἐν οὐρανοῖς συγχορεύεις, μεθ' Ἁγίων καὶ Ὁσίων ὑμνεῖσαι· καὶ δοξολογεῖσαι, Θεόφανες τρισμάκαρ.

—Ἅγιε τοῦ Θεοῦ...

—Ὡς ἀριστέα καὶ μαχητήν, στεφανοῖ σε, ὁ Χριστός, ὦ Θεόφανες Πάτερ· καὶ μακαριστὸς εἶ, εἰς πάντας τοὺς αἰῶνας.

—Ἅγιε τοῦ Θεοῦ...

—Ὑπερορίαν εἰς Σαμοθράκην ὑπέστης, καὶ τὸ σκῆνος ἐν αὐτῇ ἀποθέσας, καὶ ταῖς εὐλογίαις, πληρεῖς ἀεὶ πλουσίως.

—Εὐλογοῦμεν Πατέρα, Υἱόν, καὶ Ἅγιον Πνεῦμα, τὸν Κύριον.

—Μεμυημένος ταῖς ἀρεταῖς ἐν τῷ βίῳ, καὶ τὸ σχῆμα τῶν Ἀγγέλων ὑπέδυς· νῦν εἰς βασιλείαν, Χριστοῦ, παρακαλεῖσαι.

—Καὶ νῦν...

—Νῦν ὡς Παρθένον καὶ Ἁγνὴν καὶ Μητέρα, εὐσεβῶς μεγαλύνομεν ἐν ὕμνοις· καὶ ὑπερυψοῦμεν σε Κόρη, εἰς αἰῶνας.—

www.tezaurliturgic.ro

— 10 — Ὠδὴ θ'. Εἱρμός: «Κυρίως, Θεοτόκον...»

— Ἅγιε τοῦ Θεοῦ...

Ὁρῶντές σου τὸν βίον, καὶ ὁμολογίαν, ὑπὲρ εἰκόνων, πάτερ Θεόφανες· χριστιανῶν αἱ χορεῖαι, σὲ μακαρίζουσιν.

— Ἅγιε τοῦ Θεοῦ...

Νοσούντων, ἰατρεῖον, εὗρε καὶ προστάτην, ἡ Σαμοθράκη καὶ θεῖον Διδάσκαλον· ὑπὲρ τῶν σε τιμώντων, Ὅσιε, πρέσβευε.

— Ἅγιε τοῦ Θεοῦ...

Γενναίως ἠγωνίσθης, ὑπὲρ Ἐκκλησίας, καὶ Λεοντίου τὰ βέλη ἐστόμωσας· διὰ ἐλέγχων σου, Πάτερ, τοῦτον ἐφίμωσας.

— Δόξα...

Ἱλάσθητί μοι, Σῶτερ, τῶν ἀνομιῶν μου, καὶ ἁμαρτιῶν μου, τὰ πάθη θεράπευσον· πρὸς σὲ βοῶ καὶ στενάζω, λύσιν μοι δώρησαι.

— Καὶ νῦν...

Γαλήνην, ὦ Παρθένε, θερμῶς ἱκετεύω, ἐν τρικυμίαις τοῦ βίου μοι δώρησαι· ἵνα ὑμνῶ καὶ δοξάζω, καὶ μεγαλύνω σε.

Εὐθὺς τό: Ἄξιόν ἐστιν.

— Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν· τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Μεγαλυνάρια· δὶς [illegible] ἐν τῇ νήσῳ.

— Χαίροις ὁ ὑπέρμαχος ἀθλητής, τῶν εἰκονομάχων αὐστηρότατος ἐλεγκτής· σὺ τὴν Σαμοθράκην, πληροῖς ἐν εὐλογίαις, Θεόφανες, πλουσίως ἐν τῇ ποιμάνσει σου.

— Χαίρετε Ἀπόστολοι τοῦ Χριστοῦ, οἱ πνευματοφόροι καὶ διδάσκαλοι τῶν ἐθνῶν· οἱ τὴν Σαμοθράκην, ἐν ταῖς ὁδοιπορίαις, ποσὶν ὑμῶν ἁγίοις, ἐπισκεψάμενοι.

— Μνήμην ἑορτάζομεν ἀθλητῶν, φάλαγγα γενναίων, τῶν ἀξίως ὑπὲρ Χριστοῦ· αἵμασι φοινίξαντες τῇ νήσῳ Σαμοθράκῃ, τῇ πίστει δὲ πατέρων, μὴ ἀρνησάμενοι.

www.tezaurliturgic.ro



— Σαμοθράκης νήσου γόνους λαμπρούς, καὶ τῆς χώρας Μάκρης, μέγα κλέος τε καὶ φρουρούς· καὶ τῶν ἀσθενούντων ἰατρούς τε καὶ ῥύστας, τοὺς πέντε μεγαλάθλους, ἀνευφημήσωμεν. — *

— Ὑμνῶ ἐπισκέπτριαν προσφιλῆ, τὴν ὑπὸ Ἀγγέλων ὑμνουμένην ἐν οὐρανοῖς, τὴν ἐπὶ κυμάτων θαλάσσης ἀφιχθεῖσαν, τὴν Δέσποιναν τοῦ κόσμου, τὴν Καμαριώτισσαν. —

— Ἄσπιλε, Ἀμόλυντε καὶ Ἁγνή, θείαν σου εἰκόνα, ἐπισκέπτιν τὴν προσφιλῆ· τὴν διασωθεῖσαν ἐκ τῶν εἰκονομάχων, ἐν πίστει προσκυνοῦντες, σὲ μεγαλύνομεν. —

— Ἔχομεν ὑπέρμαχον κραταιάν, τῆς Καμαριωτίσσης, τὴν εἰκόνα τὴν ἱεράν· τὴν θαυματουργοῦσαν σημείοις ἀενάως, καὶ φύλακα τῆς νήσου, ὄντα ἀκοίμητον. —

— Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς· οἱ Ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς. — **

— Ἀμήν. — «Ἅγιος ὁ Θεός...» (τρίς) — Δόξα — Παναγία Τριάς. Δόξα... «— Πάτερ ἡμῶν...» — Ὅτι σοῦ ἐστιν ἡ βασιλεία τοῦ Πατρ... Ἀμήν.

## Ἀπολυτίκιον · Ἦχος δ΄.

— Ὀρθοδοξίας ὁδηγέ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος· τῶν μοναστῶν ἡ καλλονή, εἰς Σαμοθράκην ἐνθέτεις ὅσιον σκήνωμα· Θεόφανες σοφέ, ὑπὲρ εἰκόνων ἁγίων ἤθλησας, θείᾳ δυνάμει ῥυσθείς. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ἐλέησον** ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου... κ.τ.λ.

Μνημόνευσις... «Ἐπάκουσον ἡμῶν ὁ Θεός...» Ἀμήν.

**Ἀπόλυσις.** Πρὸ τοῦ: «Δι' εὐχῶν...» ψάλλομεν τὰ